ῶτις ἡ παρθένος ἐστί· καὶ ὡς ἐν τῇ φύσει τὴν κλῆσιν
ὁ ζωγράφος παρεφυλάξατο, οὕτω κἀν τῇ κλήσει τὴν

1 ἐντεῦθεν ἐφιλοσοφοῦμεν] ἐνεφιλοσοφοῦμεν J τὰ V, περὶ τὰ GK, οὖν περὶ τὰ J, τὰ περὶ R ε καὶ] om. J 2 τοῦ τόθ᾽ ἡμῖν GJK^2, τοῦθ᾽ ἡμῖν K^{1}VR, τοῦτ᾽ ἐθυμεῖν B ζ, τοῦτ᾽ ἐνθυμεῖν F^2, τοῦτο θ᾽ἡμῖν Gaulm. (D), τοῦ τ᾽ἐφ᾽ ἡμῖν θλ, τοῦ γ᾽ἐφ᾽ ἡμῖν Le Basius 3 τῆς — 4 στέφανον] om. BMV 3 πρώτης K, om. rell. 3 sq. τοὺς περὶ τὸν στέφανον] om. κ 5 sq. τῆς κόρης, τὸ σχῆμα] om. ε 6 λεγούσης] λέγουσαν ε 8 ἀπερικόσμητον] ἀνεπικόσμητον Teucherus (S) 9 τἆλλα πάντα scripsi, τἄλλα G δ, πάντα JVR 10 τὸ — 21, 11 πρόσωπον] om. X 11 στρατιώτιδι R, στρατιώτη β 11 sq. τὴν ὅλην στρατιῶτιν] τὴν ὅλην στρατιώτην BG^{1}R, om. λ 12 παρθένον] παρθένον τὴν ὅλην στρατιώτην λ ἀνδρεία] ἀνδρία Vθ γὰρ] γὰρ ὡς ἀληθῶς N ὡς] del.? Hercherus τῇ] om. R 13 στρατιῶτις] στρατιώτης G^{1}η ἐν] om. V 13 sq. περιφράττοιτο] περιφράττητο ζ, περιφράττοιτο ὅλη O^1 15 ὑπαινίττοιτο] ὑπηνίττετο J, ὑπαινίττητο ζ 15 sq. στρατιῶτις] στρατιώτης ε 16 ὡς ἐν τῇ φύσει] ὡς τῇ φύσει γ, ὡσεὶ καὶ σώματι G^1 16 sq. τὴν κλῆσιν ὁ ζωγράφος παρεφυλάξατο] τῇ κλήσει ὁ ζωγρ. π. CM, ὁ ζωγρ. π. τῇ κλήσει P^1, ὁ ζωγρ. π. τὴν κλῆσιν P^2, ὁ ζωγρ. τὴν κλῆσιν (τῇ κλήσει B) π. η 17 κἀν] καὶ γ.

5 φύσιν ὅλην ὑπεχρωμάτισε· τῆς ἑτέρας καὶ τρίτης τὸν ἐξ ἀνθέων στέφανον, τὸν ἐξ ἀμαράντων φυτῶν, τὴν συστολὴν τοῦ πλοκάμου, τὴν καλύπτραν τῆς κεφαλῆς, τὴν περιστολὴν τῶν στέρνων, τὴν φυλακὴν τῶν μαστῶν, τὸν ἐπὶ τῷ μηρῷ μηρόν, τὴν καὶ μέχρι πνεύματος σωφροσύνην, καὶ τἆλλα πάνθ' ὁπόσα πανευφυῶς ὁ τεχνίτης τῇ φίλῃ μοι
6 παρθένῳ προσήρμοσε. Περιπτύσσομαί σου τὴν χεῖρα, γραφεῦ· ἀσπάζομαι τὴν γραφίδα· χάριν ὁμολογῶ σοι πρός γε τοῖς ἄλλοις ὅτι μὴ τῷ στεφάνῳ τῆς ὄντως παρθένου τὸ ῥόδον συνέπλεξας. Οὐδὲν κοινὸν σωφροσύνῃ καὶ ῥόδῳ <τῷ> αἰσχρῶς
7 βαφέντι κἀκ τῆς αἰδοῦς ἐρυθραινομένῳ τὸ πρόσωπον. Τῆς τετάρτης τὸ διακύπτον ἐξ οὐρανοῦ, τὸ αἰθέριον, τὸ ἀπερικάλυπτον, τὸ λαμπρὸν τοῦ προσώπου, τὰ τῆς δίκης ζυγὰ καὶ τἆλλ' ὁπόσα προσφόρως ὁ τεχνίτης τῇ Θέμιδι προσεφήρμοσε· δικαιοσύνη γὰρ ἐξ οὐρανοῦ διακύπτει καὶ ταλαντεύει τὰς κρίσεις καὶ πρὸς οὐρανὸν ἀπευθύνει τοὺς 174
ὀφθαλμοὺς καὶ οὐδὲν ἀνθρώπινον ἔχει.

7 Μετάγομεν τοὺς ὀφθαλμοὺς ἐπὶ τὴν μετὰ τὰς παρ-

1 ὑπεχρωμάτισε] ὑπερχρωμάτισε P, ἐπεχρωμάτισε B τῆς] τῆς δ' V ἑτέρας] ἑτέρας κόρης G τὸν] τῶν KOγ 2 τὸν] τῶν γ φυτῶν] φυτόν Bζ συστολὴν] συστολὴν τῆς παρθένου Nϑ, στολὴν τῆς παρθένου O, στολὴν JVγ 3 τοῦ πλοκάμου] πλοκάμου T, τῶν πλοκάμων V τὴν καλύπτραν τῆς κεφαλῆς] τ. κ. τὴν κεφαλήν J, om. V 4 φυλακὴν] περιστολὴν J μαστῶν] μασθῶν Gδ (praeter FN²) τὸν] om. J τῷ] om. ε 5 1. καὶ] om. λ 6 τἆλλα] τἄλλ' ὁ γ ὁπόσα] ὅσα ε ὁ τεχνίτης] om. ε μοι] μου β 8 χάριν] χαίρειν η (praeter B) ὁμολογῶ σοι] ὁμολογῶσι R γε] τε G 8 sq. ἄλλοις] ἄλλοις καὶ Hercherus 9 μὴ] μοι V ὄντως] οὕτως Z 10 οὐδὲν] οὐδὲν γὰρ ε (praeter B) κοινὸν] κοινῶ V ῥόδῳ] ῥόδου J <τῷ> scripsi, om. α 10 sq. αἰσχρῶς βαφέντι] βαφέντι αἰσχρῶς γ, βαφέντι η (praeter κ) 11 κἀκ] καὶ ἐκ AFλ, κἂν γ ἐρυθραινομένῳ] ἐρυθαινομένω K, ἐρυθραινομένη J 14 ὁπόσα προσφόρως] ὁπόσ' V 18 μετάγομεν] μετάγωμεν R, μετάγωμεν οὖν Z ἐπὶ τὴν] ἔπειτα V 18 sq. τὰς παρθένους] παρθένους γ, ταύτας J.

θένους γραφὴν καὶ δίφρον ὁρῶμεν ὑψηλὸν καὶ λαμπρὸν καὶ
ὄντως βασιλικόν. Κροίσου δίφρος ἐκεῖνος ἢ πολυχρύσου
2 Μυκήνης τυράννου τινός. Τῷδ᾽ ἐπεκάθητο μειράκιον τερα-
τῶδες, γύμνωσιν παντελῆ καθ᾽ ὅλου φέρον τοῦ σώματος·
πρὸς ὃ δὴ βλέπων ᾐσχυνόμην αὐτὸς καὶ τοῦ ἔπους ἐμνήσθην
3 ὡς 'τὸ μὴ φρονεῖν κάρτ᾽ ἀνώδυνον κακόν.' Τόξον καὶ πῦρ
περὶ τὼ χεῖρε τοῦ μειρακίου, φαρέτρα περὶ τὴν ὀσφὺν καὶ
σπάθη ἀμφίκοπος· τὼ πόδε μὴ κατ᾽ ἄνθρωπον τῷ μειρακίῳ,
ἀλλ᾽ ὅλον πτερόν· τὰ δέ γε περὶ τὴν κεφαλὴν οὕτω τερπνὸν
τὸ μειράκιον, ὑπὲρ μειράκιον πᾶν, ὑπὲρ πᾶσαν παρθένον,
θεῶν ἄγαλμα, εἴδωλον Διός, ὅλος κεστὸς Ἀφροδίτης,
4 Χαρίτων ὅλος λειμών, ὅλος ἡδονή. Ἂν Θέτιδος γάμος, ἂν
Ἥρα περὶ τὸν γάμον, ἂν Ἀφροδίτη, ἂν Ἀθηνᾶ, ἂν καὶ
τουτὶ τὸ μειράκιον, ἂν Ἔρις κυκᾷ τὸ συμπόσιον, ἂν
μῆλον πλάττῃ, ἂν τὸ μῆλον ζητῇ λαβεῖν τὴν καλήν, ἂν
Πάρις κριτής, ἂν τὸ μῆλον ἆθλον τοῦ κάλλους, ἔχεις τὸ
5 μειράκιον τοῦτο. Καὶ πρὸς τὸν Κρατισθένην εἶπον 'ὡς ἄρα
καινόν τι χρῆμα ζωγράφου χείρ· τὰ ὑπὲρ τὴν φύσιν τερα-
τουργεῖ καὶ πλάττει τῷ λογισμῷ καὶ τὰ πλάσματα

2 ὄντως] οὕτως R, οὔτως Z 3 τῷδ] ἐν τῶδ᾽ ε 5 δὴ] om. β 6 τὸ] om. η (praeter κ) 8 ἄνθρωπον] ἄνδρα ε τῷ] ἦν τῶ BGJKγζ, ἦσαν τῷ Gaulm. 9 ὅλον] ὅσον V, ὅλο R τὰ] τὸ ζκ 10 1. μειράκιον] μειράκιον ἦν J 1. ὑπὲρ — παρθένον] om. BM[1] μειράκιον πᾶν] πᾶν μειράκιον η 11 εἴδωλον Διός] διὸς εἴδωλον J ὅλος] ὅλως ζ, ὅλον η κεστὸς] μεστὸν ε 12 Χαρίτων ὅλος] ὅλος χαρίτων BKζ, ὅλον χαρίτων η 2. ὅλος] ὅλον G[2]δ ἡδονή] ἡδονῆς η (praeter B) 13 sq. καὶ τουτὶ Hercherus, om. P[2], καὶ τουτοὶ rell., καὶ τοῦτο Teucherus (Y) 14 κυκᾷ] συγκυκᾶ (ξυγκυκᾶ AMT, ξυνικᾶ F[1]λ) ε 15 ζητῇ] ζητεῖ JKOZζ 16 2. τὸ Gaulminus, ὦ α 17 τὸν] om. J 18 καινόν τι χρῆμα ζωγράφου χείρ] κ. τ. χρ. χεὶρ ζωγράφου F[2], χεὶρ ζωγράφου καινόν τι χρῆμα δ (praeter B) τὴν] om. B 19 1. καὶ — 23, 1 τεχνουργεῖ] om. JP[1]Vγ 19 πλάττει] συμπλάττει κ 19 τῷ — 23, 1 τεχνουργεῖ] om. X 19 τῷ λογισμῷ] τὸν λογισμὸν ε (praeter κ) 19 sq. τὰ πλάσματα τεχνουργεῖ] τὰ πλάσματα τερατουργεῖ G, τερατεύει τὰ πλάσματα B.

τεχνουργεῖ. Εἰ δέ γε βούλει, φιλοσοφήσωμεν τὸ μει-
ράκιον.

8 "Ἀγχίθυροι ταῖς ἀρεταῖς αἱ κακίαι, καὶ ταύταις
παραπεπήγασι. Πρὸς τοῦτο δὴ τὸ γνωμάτευμα τὸ μειρά-
κιον ἀναπέπλασται, καὶ τέχνη τὸ πλάσμα πρὸς φύσιν
2 μετήγαγεν. Ἔχω σου, τεχνῖτα, τὸ αἴνιγμα, ἔχω σου τὸ
δρᾶμα· εἰς αὐτόν σου βάπτω τὸν νοῦν· κἂν Σφὶγξ γένῃ,
Οἰδίπους ἐγώ· κἂν ὡς ἐκ Πυθικῆς ἐσχάρας καὶ τρίποδος 175
αἰνιγματωδῶς ἀποφοιβάζῃς λοξά, πρόσπολος ἐγώ σοι,
καὶ διασαφῶ τὰ αἰνίγματα."

9 Τὰ δ' ἐφεξῆς ὁποῖα; Ὅλος στρατὸς παρειστήκει
τῷ μειρακίῳ, ὅλαι πόλεις, χορὸς σύμμικτος ἀνδρῶν,
γυναικῶν, πρεσβυτῶν, γραῶν, μειρακίων, παρθένων. Βασι-
λεῖς, τύραννοι, δυνάσται, κρατοῦντες γῆς ὡς δοῦλοι
παρίστανται οὐκ ἴσα καὶ βασιλεῖ ἀλλ' ἴσα θεῷ, καὶ
γυναῖκες δύο ταῖς χερσὶν ἀλλήλαις συνδούμεναι, τὸ μῆκος
ὑπὲρ γυναῖκας, ὑπὲρ τὸν Ἰαπετὸν τὸν χρόνον, καιναὶ τὴν
ὄψιν, καιναὶ τὴν ῥυτίδα, καιναὶ τὸ σχῆμα, καιναὶ τὴν
2 χροιάν. Ἡ μὲν ἡλιοειδὴς καὶ ὅλη λευκή· λευκὴ τὴν τρίχα,
λευκὴ τοὺς ὀφθαλμούς, λευκὴ τὸ χιτώνιον, τὸ πρόσωπον,

1 βούλει] βούλῃ B φιλοσοφήσωμεν] φιλοσοφίσωμεν Pγ, φιλοσοφήσομεν TV, φιλοσοφήσομαι AFλ 3 ἀγχίθυροι] ἀγχίθυραι B, ἀγχίθυρον R, ἀγχίθυροι πλησίον ε 4 δὴ τὸ] δὴ τὸ μειράκιον τὸ B, καὶ V, δὴ Gaulm. γνωμάτευμα] γνωμάντευμα γη 4 sq. τὸ μειράκιον] om. B 5 πλάσμα] πρᾶγμα η (praeter κ) πρὸς] περὶ τὴν J 7 αὐτόν] ταὐτόν JVγ σου] σοι R κἂν] καὶ P γένῃ] γίνῃ Gε 8 ἐκ] om. γ 9 αἰνιγματωδῶς] αἰνιγματωδὸς G, om. B ἀποφοιβάζῃς] ἀποφοιβάζεις Vδ (praeter B), ἀποφοιβάζει γ πρόσπολος] πρόσπολος δοῦλος ὑπηρέτης ε (praeter B) 10 διασαφῶ] διασαφῶ σοι X 11 παρειστήκει] παρεστήκει Teucherus, συμπαρειστήκει κ 13 γυναικῶν] γ. νεανίσκων B γραῶν Hercherus, om. α παρθένων Hercherus, παρθένων γραῶν α 14 γῆς] τῆς γῆς AFλ 15 1. καὶ] om. JVZ, δὲ Teucherus 16 δύο] δὲ Gaulm. ἀλλήλαις] ἀλλήλας η (praeter κ) 17 2. ὑπὲρ — χρόνον] om. V Ἰαπετὸν] Ἰαπετοῦ Osannus 2. τὸν] om. η χρόνον] κρόνον BJγ, χρόνον καὶ Gaulm. 19 ἡ] καὶ ἡ ε (praeter B) 20 τὸ χιτώνιον] τῷ χιτῶνι K.

τὼ χεῖρε, τὼ πόδε, τὰ πάντα λευκή· ἡ δ' ἑτέρα τὰ πάντα μέλαινα, καὶ τρίχα καὶ κεφαλὴν καὶ τὸ πρόσωπον <καὶ>χεῖρας καὶ πόδας καὶ τὸ χιτώνιον. Ἶσαι τὴν ἡλικίαν, διάφοροι τὴν χροιάν· ἴσαι τὴν ῥυτίδα, τὸ γένος διάφοροι· ἡ μὲν γὰρ ὡς ἐξ Ἀχαιίδος καλλιγύναικος, ἡ δ' ὡς ἐκ κεκαυμένης Αἰθιοπίας. Παρίσταται καὶ πλῆθος πτηνῶν καὶ φέρον ἐλεύθερον τὸ πτερὸν ὡς δοῦλον παρίσταται. Ὅλον γένος Ἀμφιτρίτης νεπόδων δουλογραφεῖται τῷ μείρακι· καὶ θὴρ βασιλεὺς θηρίων μετὰ παντὸς * ὁμόδουλος παρίσταται.

10 Ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην "πῶς δ' οὐ πτερύσσεται τὸ πτηνὸν ἀνέτῳ πτερῷ, ἀλλὰ δουλαγωγεῖται καινῶς οὕτω καὶ ὑπὲρ τὴν φύσιν; Θὴρ λέων ὠμηστής, βασιλεὺς θηρίων, δοῦλος τῷ μείρακι καὶ ταῦτα γυμνῷ, ὃν φρίσσει καὶ θὴρ καὶ ὅλος ὁπλίτης. Ὄνυξ δὲ ποῦ καὶ βλοσυρὸν ὄμμα καὶ λάσιον στέρνον καὶ πρὸ πάντων τὸ φρικτὸν καὶ ἄγριον

1 λευκή] λευκά Z 1 sq. τὰ πάντα μελαινα] μελαινα τὰ πάντα (τὰ μελαινα πάντα P) ε (praeter B) 2 1. καὶ — 3 χιτώνιον] om. V 2 1. καὶ — 3 ἡλικίαν] om. J 2 1. καὶ] τὴν ι κεφαλὴν] παρειὰν ζθ 2 3. καὶ — 3 πόδας] om. ζθ 3 <καὶ> Hercherus, om. α πόδας] πόδας καὶ τὴν χροιὰν ἅμα κ τὸ] om. ε (praeter κ) χιτώνιον] χιτώνιον χεῖρας καὶ πόδας ζ 5 γὰρ] om. V ἀχαιίδος CJT, ἀχαίδος rell. 6 παρίσταται] παρίστανται ζθ, παρίστατο Z 6 καὶ — 7 παρίσταται] om. θ 6 πλῆθος] πλήθη ζ πτηνῶν] πτηνὸν λ 7 φέρον] φέρων P^1V^1γ, φέροντα ι ὡς] καὶ ὡς ι 8 Ἀμφιτρίτης] ἀμφιτρίτη V τῷ μείρακι] ὦ μειράκιον V 9 θηρίων] θηρίων λέων γ μετὰ παντὸς * scripsi, μετὰ παντὸς G^1JV, μετὰ παντῶς γ, om. B, μετὰ παντὸς θηρὸς G^2δ ὁμόδουλος] ὁμοδούλου V, ὁμοδούλου ὡς βασιλεῖ γ, ὁμοδούλως Gε 11 δ'] om. J πτερύσσεται] περιπτύσσ(—σ— Z)εται Bγ 12 τὸ πτηνὸν] τὸ πτερὸν G^1, om. J ἀνέτῳ] ἀνωτέρω γ πτερῷ] πλευρῶ η (praeter κ) δουλαγωγεῖται] δουλογραφεῖται η (praeter κ) καινῶς] τῶ μείρακι ι 13 θὴρ λέων] λέων θὴρ Graessius 14 μείρακι] μειχίω (sic) γ ὃν] ἓν J 3. καὶ] om. BG^1V, δὲ Teucherus 15 ὅλος] om. B, οἷος Gaulm. (D) ὄνυξ] ὄνυχες B 16 λάσιον στέρνον] στέρνον λάσιον B, λάσιον X.

βρύχημα; Φρακτὸν γένος (παρίστατο γὰρ καὶ τοῦτο) καὶ 176
πᾶς βασιλεύς, πᾶς δυνάστης, πᾶς τύραννος οὐκ ἀρκεῖ πρὸς
3 μόνον μειράκιον ὅλον γυμνόν; Ἰχθὺς ἢ πᾶς θαλάσσιος
θὴρ τί μοι φρίσσει τοῦ μειρακίου; Τὸ πῦρ; ἀλλὰ πάλιν
ὅλας ἔχει θαλάσσας, ὅλον βυθόν, πολέμιον πυρός· τὸ
4 τόξον, τὸ πτερόν; εἶτ' οὐκ ἀμβλύνονται τῷ βυθῷ; Βαβαί
μοι τῶν γυναικῶν, βαβαί μοι τοῦ θαύματος, βαβαὶ τῆς
ἡλικίας, βαβαὶ τῶν ῥυτίδων, βαβαί τοῦ σχήματος, τῆς
δουλοπρεπείας. Ὦ Ζεῦ καὶ θεοί, ὡς ἀληθῶς τέρας ἡ
γραφή, νοῦ πλάσμα, καὶ χειρὸς ζωγράφου τεχνούργημα.
5 Ἀλλ' ἴδωμεν, εἰ δοκεῖ, καὶ τὰ ὑπὲρ τὴν τοῦ μειρακίου
κεφαλὴν γεγραμμένα." Ἰαμβεῖα <δ' ἦν> οὕτως ἔχοντα

Ἔρως τὸ μειράκιον ὅπλα, πῦρ φέρον,
τόξον, πτερόν, γύμνωσιν, ἰχθύων βέλος.

11 Καὶ ὁ Κρατισθένης "οὐκέτι σοι τὰ τῶν ἐμῶν
ἀμάρτυρα λόγων. Τίς Ἔρως ἠρώτας· ἰδού μοι, βλέπεις
2 αὐτόν· ἀλλ' εὐμενής σοι τὰ εἰς πεῖραν ἵκοιτο." Ἐγὼ δὲ

1 φρακτὸν — τοῦτο] om. V φρακτὸν] φρικτὸν κ, φρακτῶν? Hercherus coll. Choricio p. 185, 26 Boiss. φρακτὸν γένος] καὶ φρακτὴ γένυς coniecit et post στέρνον posuit Graessius γένος] πρᾶγμα κ παρίστατο γ, παρίστατε μ, παρίσταται rell. καὶ τοῦτο] καὶ τοῦ λόγου B, καὶ τοῦ λόγου πᾶν γένος F^2, καὶ τοῦ πόγου πᾶν γένος O, τὸ τοῦ λόγου πᾶν γένος N, καὶ τοῦτο πᾶν γένος X 2 οὐκ] καὶ οὐκ B 3 ὅλον γυμνόν] γυμνόν B, om. J ἰχθὺς] ἀλλὰ καὶ ἰχθύες κ, ἀλλὰ καὶ ἰχθὺς Le Basius ἢ] καὶ κ 4 τί μοι] τά μοι G^1, τί μὴ OVζ, τρέμει γ πάλιν] πόλιν Kζ, πόλεις η (praeter κ) 5 ὅλας] πάντας B, πάσας F^2 6 οὐκ] οὐ Oγ ἀμβλύνονται] ἀμβλύνεται KOζθ, καταμβλύνονται γ 7 2. μοι] om. Pγη 7 τοῦ — 8 ῥυτίδων] τῆς ἡλικίας, βαβαὶ τῶν ῥυτίδων, βαβαὶ τοῦ θαύματος B 7 sq. βαβαὶ τῆς ἡλικίας] om. P 10 νοῦ] νοῦς K, θεοῦ V τεχνούργημα] πλαστούργημα B 12 γεγραμμένα] ἐγγεγραμμένα V ἰαμβεῖα] ἰάμβια Bζ <δ' ἦν> scripsi, om. α 13 φέρον] φέρων BVγ 14 τόξον, πτερόν] τόξων, πτερῶν ζ βέλος] βέλει γ, βέλος κατὰ θηρῶν, κατὰ πτηνῶν, κατὰ τῶν ἐν θαλάσσῃ K 15 οὐκέτι] οὐδέν ι, οὐκ ἔστι Osannus σοι] om. J τὰ] om. ι 16 μοι] σὺ κ, σοι λ 17 αὐτόν] αὐτήν A εὐμενής σοι] εὐμενίσοι AF εὖ μὲν ἶσοι T, εὐμενίση ζ τὰ] τὰς N, delendum esse censet Hercherus ἵκοιτο G, ἥκοιτο BJKVγ, ἥκοντα ε.

πρὸς αὐτὸν "σύ μοι τὰ περὶ τὴν γραφὴν φιλοσόφει καὶ τῇ γραφῇ προσάρμοττε τὸ ἐπίγραμμα"· ὁ δὲ Κρατισθένης "ὁ Ἔρως γυμνός, ὁπλοφόρος, πυρφόρος, τοξότης, πτερωτός·
3 ὅπλα φέρει κατ' ἀνδρῶν, πῦρ κατὰ γυναικῶν, τόξα κατὰ θηρῶν, κατὰ πτηνῶν τὸ πτερόν, τὴν γύμνωσιν κατὰ τῶν ἐν θαλάσσῃ καὶ καθ' ὅλης αὐτῆς· ἡμέρα καὶ νύξ, ὡς ὁρᾷς, δουλεύει τῷ Ἔρωτι· αὗται γὰρ αἱ γυναῖκες, ἃς σὺ θαυμάζεις ὁρῶν." Ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην "μηδὲ γινώσκοιτό μοι."

12 Ἧκεν ὁ Σωσθένης, καὶ περὶ τὸ δεῖπνον ἀνακεκλίμεθα· καὶ πάλιν ἡ παρθένος ἐπὶ τῷ λειτουργήματι, καὶ πάλιν τοὺς ὀφθαλμοὺς ἐπ' ἐμέ, καὶ κατὰ μέτωπον στᾶσά μου καὶ τὸν τράχηλον ἠρέμα μικρὸν ὑποκλίνασα 177
καθυποκλέπτει μοι τὸ προσκύνημα καὶ τοὺς δακτύλους
2 ἐπιθεῖσα τῷ χείλει σιγᾶν ἐπιτρέπεται. Ἐγὼ δὲ πρὸς τὸν Κρατισθένην "ὁρᾷς; τί ταῦτα;" ὁ δέ μοι "σίγα" φησίν. Ἧκεν ἡ κόρη κιρνῶσα καὶ "χαίροις, συνώνυμέ μοι κῆρυξ" ὑπεψιθύρισε· καὶ μετ' ἐμὲ τῷ Κρατισθένει κιρνῶσά φησιν,

1 γραφὴν] κεφαλὴν JVγ, φράσιν ζθN¹O¹ 2 ὁ δὲ Κρατισθένης] καὶ ὁ κρατισθένης ε (praeter B), om. V 3 πυρφόρος] om. J 5 1. κατὰ] καὶ V τὸ] om. J ἐν] ἐν τῇ Bζ 6 1. καὶ] om. P ἡμέρα καὶ νύξ, ὡς ὁρᾷς] ἡ ἡμ. κ. ν. ὡς ὁ. J, ἡ ἡμ. κ. ἡ ν. ὡς ὁ. Vκ, ἡμέρας καὶ νύξ, ὡς ὁρᾷς K, ἣν νύξ, ὡς ὁρᾷς, καὶ ἡμέρας γ, ἡμέρας καὶ νυκτός, ὡς ὁρᾷς ε 7 ἃς] ἐν αἷς B σὺ] om. γ 8 γινώσκοιτό] γινώσκοιντό γ, γιγνώσκοιτό Hercherus 10 ἧκεν] ἧκεν οὖν γ καὶ] om. Gaulm. τὸ] τὸν Jγ 10 sq. ἀνακεκλίμεθα] ἀνεκλινόμεθα V 11 ἡ] ὁ P ἐπὶ τῷ λειτουργήματι] om. G¹, ἐπὶ τοῦ λειτουργήματος G² 12 καὶ πάλιν] om. P 2. καὶ] om. G 13 ἠρέμα] om. B μικρὸν] deleri iubet Jacobsius 14 μοι Kγκ, μου rell. 15 ἐπιτρέπεται] ἐπιτρέπει με ε (praeter B) 16 μοι] γε Gaulminus (D) σίγα φησίν] σιγᾶν ἐπιτρέπει με η (praeter B) 17 ἧκεν] ἧκεν οὖν N κιρνῶσα] κιρνῶσά μοι ι 17 συνώνυμέ — 18 ὑπεψιθύρισε] μοι συνώνυμε κ. ὑ. J, συνώνυμε κ. ὑ. BP², ὑπεψ. συνώνυμε κ. η 18 Κρατισθένει] κρατισθένη BJKN.

εἴ τι δεῖ φωνὴν ἐκεῖνο καλεῖν τὸ ψιθύρισμα, "ὀφείλω σοι
χάριτας."
13 Τρυφαὶ καὶ πάλιν περὶ τὴν τράπεζαν, οὐκ ἐξ ἀγρῶν,
οὐκ ἐκ θαλάσσης ἁπλῶς, ὡς οἶδε τρυφᾶν ἠπειρώτης ἀνὴρ
καὶ παράλιος, ἀλλ' ὅσας χεὶρ καὶ τέχνη μαγείρων ἐσκεύ-
ασεν, ὡς ἰχθῦς ἐξ ἀγροῦ, καὶ ὡς ἐκ θαλάσσης ταών·
οὕτω πολυτελὲς ἡμῖν τὸ δεῖπνον, οὕτω λαμπρόν, οὕτω
2 χάριεν, ὡς ἡδύνειν καὶ ὀφθαλμοὺς καὶ λαιμόν. Καὶ πάλιν
ἐπίνομεν (τροφὴ γὰρ πολυτελεστέρα ζητεῖ καὶ πόσιν ἀνά-
λογον), καὶ πάλιν ἡ κόρη κιρνῶσα προεκροφᾷ μου τοῦ
ποτηρίου, καὶ διδοῦσα πάλιν φησὶ τῇ συνήθει φωνῇ "ὡς
τὴν κλῆσιν ἐκ τύχης, οὕτως ἐξ ἔρωτος τὴν πόσιν κοινοῦ-
3 μαί σοι." Ἱκανῶς οὖν τῆς τραπέζης κατατρυφήσαντες
καὶ τροφαῖς ποικίλαις καὶ παντοδαποῖς καρυκεύμασι καὶ
πόσει καὶ πολυειδέσι ποπάνοις λύομεν τὸ συμπόσιον· καὶ
ὁ Σωσθένης φησὶν

"ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι·

καὶ τὰ πρόσφορα τῇ νυκτὶ χαρισώμεθα·" καὶ "χαίροις"
εἰπών μοι σὺν τῇ Πανθίᾳ ᾤχετο.

3 τρυφαὶ] τροφαὶ Vε (praeter B) καὶ] δὲ καὶ Gaulm. περὶ Hercherus, ἐπὶ α 3 οὐκ — 4 θαλάσσης] οὐκ ἐκ θαλάσσης, οὐκ ἐξ ἀγρῶν B, ἐκ θαλάσσης X 4 ὡς] om. B οἶδε] εἶδε Bζ (ἦδε P^1) 5 ὅσας] ὅσοις B, ὅσα V χεὶρ καὶ τέχνη] τέχνη καὶ χεὶρ V, χεὶρ A 5 sq. ἐσκεύασεν] ἐχάλκευσεν R 6 ἰχθῦς scripsi, ἰχθὺς α ταών] ταῶς Hercherus 7 1. οὕτω] οὕτω τοίνυν V πολυτελὲς] λαμπρὸν N δεῖπνον] συμπόσιον G^1 λαμπρόν] λαμπρῶς K, πολυτελές N 8 ὡς] om. R ἡδύνειν] ἡδύνει ε (praeter B) 1. καὶ] om. V λαιμόν] λαιμὸν καὶ τὴν αἴσθησιν V 9 τροφὴ γὰρ] ἡ γὰρ τροφὴ B 10 προεκροφᾷ μου] προεκφαρμάκου P, προεκροφεῖ μου Hercherus 12 1. τὴν — τύχης] ἐκ τύχης τὴν κλῆσιν B τὴν πόσιν] τὸ πόμα B 12 sq. κοινοῦμαί] κοινωνοῦμαί AFλ 14 1. καὶ] om. ι τροφαῖς] τρυφαῖς JV 14 2. καὶ — 15 πόσει] om. ι 15 πόσει] πόσοις J ποπάνοις] om. J 16 Σωσθένης — 17 πιθέσθαι] σωσθαι X^1 16 φησὶν] φησὶν (om. B) νὺξ ἤδη ὑπάρχει κ, νὺξ ἤδη τελέθει X^2 17 καὶ] τὸ J πιθέσθαι] πειθέσθαι $KPTV^1$, πείθεσθαι BJX^2R 18 χαρισώμεθα] χαρισόμεθα R, ἐχαριζόμεθα J χαίροις] χαίρεις N.

14 Ἡ γοῦν Ὑσμίνη ὑποκριθεῖσα προσκόψαι τὸν πόδα
καὶ Σωσθένους πατρὸς καὶ μητρὸς Πανθίας μικρὸν ἐλθοῦσα
δευτέρα "χαίροις" εἰποῦσα καὶ "πείσθητι τῷ πατρὶ" ᾤχετο
2 καὶ αὐτή. Ἐγὼ δὲ καὶ Κρατισθένης ἀνακλιθέντες τὰ
περὶ τὸ δεῖπνον καὶ τὴν κόρην ἐκοινούμεθα· ὡς προσ-
κυνεῖ με κλέπτουσα τὸ προσκύνημα· ὡς ἐπιτίθησι τοὺς 178
δακτύλους τῷ στόματι, σιγᾶν ἐπιτρέπουσα· ὡς διδοῦσά
μοι τὸ ποτήριον "χαίροις, συνώνυμέ μοι κῆρυξ" ὑπεψι-
3 θύρισεν· ὡς κιρνῶσα προεξερρόφησεν· ὡς εἶπε πάλιν ἐπὶ
δευτέρῳ μοι πόματι "καὶ τὴν πόσιν ἐξ ἔρωτος, ὡς καὶ
τὴν κλῆσιν ἐκ τύχης κοινοῦμαί σοι"· καὶ τέλος τὸ περὶ
4 τὸν πόδα πλάσμα καὶ τὸ "πείσθητι τῷ πατρί". Καὶ ὁ
Κρατισθένης "Ἔρως ὅλην σοι τὴν παρθένον ἐξέκαυσεν,
Ἔρως ἐτυράννησεν, ἐρώσης ταῦτα ψυχῆς καὶ γλώσσης
πυρπολουμένης ἐξ ἔρωτος· σὺ δὲ μέχρι πότε λειποταξίου
5 κριθήσῃ τῷ Ἔρωτι; Ποῖ δὲ καὶ φύγῃς αὐτόν; εἰς οὐρανόν;
ἀλλὰ φθάνει σε τῷ πτερῷ· εἰς θάλασσαν, ἀποδύσῃ δὲ

1 ὑποκριθεῖσα scripsi, om. α προσκόψαι] προκόψαι η (praeter B) πόδα scripsi, πόδα ὑποκριθεῖσα α, πόδα καθυποκριθεῖσα Hercherus 2 μητρὸς] πατρὸς F[1] μικρὸν ἐλθοῦσα] ἐλθοῦσα μικρὸν V 3 δευτέρα] δευτέρα καὶ Jι καὶ] om. N 5 τὸ — κόρην] τὸν δ. κ. τ. κ. GRζ, δεῖπνον καὶ τ. κ. F, τὸ δεῖπνον καὶ κόρην X[1], τὴν κόρην καὶ τὸν δεῖπνον J ἐκοινούμεθα] ἀνεκοι(—κι—ζ)νούμεθα Vδ (praeter B) 6 ἐπιτίθησι] ἐπιθεῖσα R 8 2. μοι] om. JVε (praeter N[2]μ) 9 κιρνῶσα] κιρνῶσά με ι 2. ὡς] καὶ A ἐπὶ] ἐπὶ τῷ BK 10 μοι] τῷ B, μοι τῷ λ, om. V, μου Hercherus 10 2. καὶ — 11 τύχης] καὶ τὴν κλῆσιν R[1], ἐκ τῆς τύχης τὴν κλῆσιν V 11 κοινοῦμαί σοι] om. J 12 πλάσμα] om. ϑ τὸ] τῷ B, om. η 13 Ἔρως ὅλην] ἔρως ὅλος B, ὅλην ἔρως V 14 Ἔρως] ἔρως αὐτὴν ι ἐτυράννησεν] ἐξετυράννησεν K ἐρώσης] ἐρώσης καὶ μ ἔρως καὶ ζϑ ταῦτα] ταῦτα περὶ ϑ 15 μέχρι πότε] πότε μέχρι η (praeter B) λειποταξίου] λειποταξίας ε 16 κριθήσῃ] κληθήσῃ B, κλιθήσῃ X ποῖ Hercherus, ποῦ α καὶ] om. BJV εἰς] ἐπ' A 17 τῷ πτερῷ] τὸ πτερὸν JK[2] εἰς] ἀλλ' εἰς V ἀποδύσῃ] ἀποδύσεται B δὲ] om. BN.

τὸν χιτῶνα; ὁ δέ σου προαπεδύσατο· κατὰ γῆν; τῷ τόξῳ σε φθάνει. Εἶδες τὸν Ἔρωτα; εἶδες τὸ πῦρ, τὰ τόξα, τὴν γύμνωσιν, τὸ πτερόν; Εἶτα σὺ μόνος ἐλεύθερος ἔρωτος; σὺ μόνος;" Ἐγὼ δὲ πρὸς αὐτὸν "ἔα με σωφρονεῖν, ὠγαθέ· τοὺς γὰρ σώφρονας

θεοὶ φιλοῦσι καὶ στυγοῦσι τοὺς κακούς."

Καὶ σιγήσαντες περὶ τὸν ὕπνον ἐτράπημεν.

1 χιτῶνα] χιτῶνα; εἰς τὸν βυθόν; ι ὁ] καὶ ὁ μ σου Hercherus, σοι καὶ NV, σοι rell. προαπεδύσατο] προϋπεδύσατο κ, προαπεδήσατο G, προσαπεδύσατο JN 1 sq. τῷ τόξῳ] τὸ τόξον K 2 σε] om. K εἶδες τὸν Ἔρωτα] εἰς δὲ τὸν ἀέρα J, om. B 3 τὸ πτερόν] om. B εἶτα] om. ϑ 4 σὺ μόνος] om. ι αὐτὸν] τὸν κρατισθένην β (praeter B) 5 ὠγαθέ] ὦ ἀγαθέ ζ 6 θεοὶ φιλοῦσι] φιλοῦσι θεοὶ B 7 περὶ τὸν] πρὸς N.

Γ

1 Καὶ δή μοι περὶ μέσην νύκτα κατακοιμωμένῳ
ἐνύπνιον ἦλθεν ὄνειρος μάλα φοβερός· ὁρῶ γὰρ περὶ τὸ
δωμάτιον εἰσιὸν πλῆθος οὐκ εὐαρίθμητον, ὄχλον σύμμικτον
ἀνδρῶν, γυναικῶν, νεανίσκων, παρθένων· λαμπαδηφόροι
πάντες τὴν δεξιάν, τὴν γάρ τοι λαιὰν περὶ τὸ στῆθος
2 εἶχον δουλοπρεπῶς. Καὶ μέσον τὸ περὶ τὸ τοῦ κήπου
θριγγίον μειράκιον, τὸν γεγραμμένον Ἔρωτα, τὸν βασιλέα, 179
τὸν φοβερὸν ἐκεῖνον, ἐπὶ τοῦ χρυσοῦ καὶ πάλιν δίφρου
3 καθήμενον· ὡς ἐκ βροντῆς δέ μοι κατερράγη φωνὴ "πρὸς
ἡμᾶς τὸν δυνάστην, τὸν ἐλεύθερον, τὸν μὴ φρίσσοντά
μου τὸ βέλος, τὸν μὴ φοβούμενον τὸ πτερόν, τὸν
λοιδοροῦντα τὸ πῦρ, τὸν αἰσχυνόμενόν μου τὴν γύμνωσιν,
τὸν ὡς μειρακίου καταμωκώμενον, τὸν ἀσπαζόμενον τὸν

1 μοι Hercherus, με α μέσην] μέσην τὴν P²Tι, τὴν μέσην J νύκτα] νύκταν R κατακοιμωμένῳ Hercherus, κατακοιμώμενον α 2 ὄνειρος μάλα φοβερός] μάλα φοβερὸς ὄνειρος BN 4 νεανίσκων, παρθένων] παρθένων, νεανίσκων J λαμπαδηφόροι] λαμπαδιφόροι ι 5 τοι] om. J στῆθος] στέρος (sic) B 6 2. τὸ] τοῦ V 6 περὶ — 7 1. τὸν] om. Teucherus 6 2. τὸ] om. OVζ 8 τοῦ] om. NVζθ 8 sq. δίφρου καθήμενον] καθήμενον δίφρου V, καθήμενον N 10 ἡμᾶς] ἡμᾶς λέγω B, ἡμᾶς λέγων λ δυνάστην] δυνατόν V 11 φοβούμενον] πτυούμενόν μου B 12 μου] om. V τὴν] om. Gaulm. (D) 13 μειρακίου] μειράκιον Gε καταμωκώμενον] καταμυκώμενον O, καταμυκρομώμενον X¹, με καταμυκώμενον X².

ζωγράφον, εἰ τὸ ῥόδον βδελύξαιτο, τὸν τὴν ἐμὴν φίλην
4 Ὑσμίνην αἰσχύναντα, ὃν ὡς σώφρονα φιλοῦσι θεοί." Ἐγὼ
δ' εἱλκόμην ἐλεεινῶς, ὅλος ἔντρομος, ὅλος ἄφωνος, ὅλος
νεκρὸς καὶ κατὰ γῆν κείμενος. "Φεῖσαι, βασιλεῦ" ἀκούω
φωνῆς, καὶ μικρὸν πρὸς ἑαυτὸν γεγονὼς καὶ τοὺς ὀφθαλμοὺς ἀνατείνας ὁρῶ τὴν Ὑσμίνην ἐστεφανωμένην ῥόδῳ τὴν κεφαλήν, ῥόδον τῇ δεξιᾷ φέρουσαν, τῇ λαιᾷ τῶν ποδῶν ἐχομένην τοῦ βασιλέως, καὶ "φεῖσαι" λέγουσαν "Ὑσμινίου, φεῖσαι, βασιλεῦ, δι' ἐμέ· ἐγώ σοι τοῦτον
5 δουλογραφήσω." Καὶ πρὸς τὴν παρθένον ὁ βασιλεὺς "διὰ
σὲ καὶ ὠργίσθην, διὰ σὲ καὶ διαλλάσσομαι." Ἡ δ' εὐθὺς λαβομένη μου τῆς χειρὸς ἐξανέστησε, θαρρεῖν ἐπιτρέψασα. Καλεῖ με τοίνυν ὁ βασιλεὺς τῇ χειρὶ καὶ στεφανοῖ μου ῥόδῳ τὴν κεφαλήν· τὸ δὲ παρεστὼς ἅπαν ἠλάλαζεν,
6 ἐκροτάλιζεν, ὠρχεῖτο "ὁμόδουλος Ὑσμινίας" λέγον "ἡμῖν,
ὁ θρασύς, ὁ παρθένος, ὁ τῆς δάφνης ἐστεφανωμένος, ὁ τὴν καλὴν Ὑσμίνην αἰσχύνας." Ὁ δὲ βασιλεὺς Ἔρως

1 εἰ] εἰς R, ὃς F² ὡς καὶ B, καὶ λ, ὡς Jζθ βδελύξαιτο scripsi, βδελύσσεται ι, βδελύξοιτο rell. 2 Ὑσμίνην αἰσχύναντα] αἰσχύναντα ἰσμήνην V ὃν]ἣν V¹ ὡς] καὶ ὡς ι, om. P φιλοῦσι θεοί] θεοὶ φιλοῦσιν ε ἐγὼ] τρώσατε ἐγὼ κ 3 ἐλεεινῶς] ἐλεεινός G 1. ὅλος — ἄφωνος] ὅλος ἄφωνος, ὅλος ἔντρομος J 1. ὅλος] ὅλως V 3 sq. ὅλος νεκρὸς] νεκρὸς T, om. V 4 καὶ] om. R ἀκούω] ἀκούων V 5 ἑαυτὸν] ἐμαυτὸν λ, ἐμαυτῷ Gaulm. 6 Ὑσμίνην ἐστεφανωμένην — 7 ῥόδον] ὑς δα X¹, ὑσμίνην λαμπάδα X², 6 ῥόδῳ] ῥόδων P²T 7 ῥόδον] ῥόδω Rε (praeter BX) τῇ δεξιᾷ] τὴν δεξιὰν ARλ, τὴν δεξιᾶ F¹ φέρουσαν] φέρουσα B 7 2. τῇ — 8 ἐχομένην] τῶν ποδῶν ἐχομένην τῇ λαιᾶ B 7 λαιᾷ] λαιᾶ δὲ X² 8 ποδῶν] χειρῶν J ἐχομένην] ἐχομένη R λέγουσαν] λέγουσα BV 9 φεῖσαι] φεῖσαι λέγουσαν η (praeter B) βασιλεῦ, δι' ἐμέ] δι' ἐμέ, βασιλεῦ η (praeter B) 10 πρὸς — βασιλεὺς] ὁ βασιλεὺς πρὸς τὴν παρθένον B 11 2. καὶ] om. K 12 τῆς χειρὸς] τῶν χειρῶν V ἐξανέστησε] ἐξενέστησε P, ἀνέστησεν V ἐπιτρέψασα] ἐπιτρέπουσα B 13 καὶ στεφανοῖ] καταστεφανεῖ V¹, καταστεφανοῖ V² 14 ῥόδῳ] ῥόδων O παρεστὼς] παρεστὸς Vζθ ἠλάλαζεν] ἠλλάλαξεν V 15 Ὑσμινίας λέγον] λέγων ὑσμινίας B λέγον GV, λέγων rell. ἡμῖν] om. V 16 ὁ τῆς δάφνης ἐστεφανωμένος] om. β 17 δὲ βασιλεὺς] βασιλεὺς X, δ' V.

πρὸς τὴν καλὴν Ὑσμίνην εἰπὼν "ἔχεις τὸν ἐραστὴν"
ἀπέπτη μου τῶν ὀφθαλμῶν, ὅλος περὶ μέσην μου τὴν
καρδίαν πεσών.
2 Συναπέπτη δέ μου καὶ ὁ ὕπνος εὐθύς, καὶ τεθο-
ρυβημένος ὅλος ἀνεκάθισα τῆς στρωμνῆς καὶ ἤμην ὅλος
ἐξεστηκώς, ὅλος ὅλον κατὰ νοῦν ἑλίττων τὸν ὄνειρον.
Πυκνὸν κατεπάλλετό μοι τὸ περικάρδιον, καὶ ἐπείχετο τὸ 180
ἆσθμα, καὶ πρὸς τὸν Κρατισθένην ἔλεγον "ὦ Κρατίσθενες,
2 ὦ Κρατίσθενες." Ὁ δ' ἀνεπήδησε τῆς στρωμνῆς, ἐγὼ δὲ
πάλιν εἶπον "ὠλώλειν, Κρατίσθενες." Ὁ δ' ἀσανδάλῳ ποδὶ
πρὸς τὴν ἐμὴν ἐπεπήδησε κλίνην καὶ τῆς δεξιᾶς με χειρὸς
πράως λαβόμενος "τί πάσχεις, ὁ καλὸς Ὑσμινίας" φησίν·
3 ἐγὼ δ' ἐσίγων. Ὁ δέ μοι δακρύσας πάλιν φησὶ "τί
πάσχεις, Ὑσμινία; Ὑσμινία, σιγᾷς;" ἐγὼ δ' "ὠλώλειν"
εἶπον "Κρατίσθενες· Ὑσμίνη μ' ἀπόλλυσιν, Ὑσμίνη με
σώζει· ὅλην φαρέτραν Ἔρως ἐξεκένωσέ μου κατὰ ψυχῆς,
4 ὅλην μου τὴν καρδίαν ἐνέπρησεν. Εἴ σοι παρῆν ἰδεῖν,
εἶδες αὐτὸν σὺν αὐτοῖς ὅπλοις, σὺν αὐτῇ φαρέτρᾳ, σὺν
ὅλῳ πυρὶ τὴν ἐμὴν εἰσδύντα ψυχήν. Οὐκέτι Διασίων

1 καλὴν] ἐμὴν FGKζ, om. η Ὑσμίνην] om. B 2 μέσην] μέσον ζ 5 ἀνεκάθισα] ἐκάθησα B, ἀνεπήδησα Hercherus 6 ἐξεστηκώς] ἑστηκώς V ὅλος] ὅλως J, om. N ὅλον] om. B 7 μοι] μου BV 7 sq. καὶ ἐπείχετο τὸ ἆσθμα scripsi, τὸ ἆσθμα ἐπείχετο Gζϑ, καὶ τὸ ἆσθμα ἐπείχετο rell. 8 ἔλεγον] λέγω AF 9 ὦ Κρατίσθενες] ὦ κρα X[1], om. JX[2] 9 ὁ — 10 Κρατίσθενες] om. V 10 ὠλώλειν] ὀλώλειν η (praeter B), ὀλλώλειν ζ, ὠλόλειν J Κρατίσθενες] ὦ κρατίσθενες B 11 τὴν — κλίνην] κλίνην τὴν ἐμὴν ἐπεπήδησε J ἐπεπήδησε] ἐπήδησε ζϑ με] μου B, om. F[1] 12 πράως λαβόμενος scripsi, προσλαβόμενος α, λαβόμενος Hercherus πάσχεις] πάσχει Gaulm. 13 δακρύσας πάλιν] δακρύσας πάλιν πάλιν R, πάλιν δακρύσας T, πάλιν δακρύσας πάλιν Gaulm. 13 sq. τί πάσχεις, Ὑσμινία] ὑσμινία, τί πάσχεις Vδ (praeter B) 14 σιγᾷς] σιγᾷ A ὠλώλειν] ὀλώλειν Vη (praeter B), ὀλλώλειν ζ 15 ἀπόλλυσιν] ἀπώλωκεν (sic) B 16 μου] μοι V 17 ἐνέπρησεν] ἐνέπλησεν J σοι] σὺ ζ (P corr.) 18 αὐτῇ] τῇ J 19 πυρὶ] πυρὶ περὶ R, περὶ Le Basius εἰσδύντα] εἰσδύναντα J, εἰσδοῦντα V 19 sq. οὐκέτι Διασίων κῆρυξ ἐγώ] om. Teucherus.

κῆρυξ ἐγώ, οὐκέτι θεράπων Διός, οὐκέτι παρθένος. Πόλεμος
5 περὶ τὴν ἐμὴν ἐρράγη καρδίαν ἐξ Ἔρωτος καὶ Διός. Ὁ
μὲν οὖν δὴ Ζεὺς ὡς ἐξ οὐρανοῦ μεγάλα βροντᾷ καὶ κατα-
βροντᾷ· ὁ δ' ὡς ἀπὸ γῆς ὅλας ἑλεπόλεις κινεῖ καὶ κατα-
σείει μου τὴν ἀκρόπολιν. Ὁ μὲν ὡς ἐκ νεφῶν ἀστρα-
πηβολεῖ, ὁ δ' ὅλους κρατῆρας πυρὸς ὡς ἀπὸ γῆς ὑπανάπτει
6 μοι. Πόλις ἐγώ, καὶ πόλις Διός· ἀλλ' Ἔρως πολιορκεῖ
με καὶ πρὸς ἑαυτὸν ὅλον μεθέλκεται. Διὸς ἐγὼ πηγὴ
μεστὴ χαρίτων παρθενικῶν· ἀλλ' Ἔρως πρὸς πηγὴν
7 Ἀφροδίτης μετοχετεύει με. Διασίων κῆρυξ ἧκον ἐξ Εὐρυ-
κώμιδος, καὶ νῦν Ἀφροδισίων ἐξ Αὐλικώμιδος· ἐκ δάφνης
τότε, καὶ νῦν ἐκ ῥόδων στεφανοῦμαι τὴν κεφαλήν. Τίς
οὖν οὕτω θρασὺς τὴν ψυχήν, στερρὸς τὴν καρδίαν καὶ τὸ
στέρνον σιδήρεος, ὡς καὶ πρὸς μάχην ἀντέχειν θεῶν, καὶ
ὅλους φέρειν αὐτοὺς πολιορκοῦντας καὶ ῥήσσοντας; Οὐκ
ἔχω σθένειν, Κρατίσθενες."
3 Ὁ δὲ "πῶς οὕτω" φησὶν "ἐξ ὅλου παρθένου καὶ 181
κήρυκος Διὸς καὶ ὅλου σώφρονος ὅλον ἀναπνεῖς μοι τὸν
Ἔρωτα, μύστης αὐτόματος γεγονὼς καὶ ὅλος διδάσκαλος;"
ἐγὼ δὲ πρὸς αὐτὸν "Ἔρως αὐτός με μυσταγωγεῖ, Ἔρως
αὐτὸς μεταπλάττει με· χεὶρ Ἔρωτος τὴν ἐμὴν ταύτην

1 2 οὐκέτι — 2 Διός] om. O^1 2 περὶ] ἐπὶ BGJV ἐρράγη καρδίαν] καρδίαν ἐρράγην (sic) B 3 οὖν δὴ] δὴ JK, οὖν ε (praeter B) ὡς] om. BGK μεγάλα] μεγάλου BGK, μεγάλως J βροντᾷ] βροντῶν V 3 sq. καὶ καταβροντᾷ] καὶ καταβροντῶν V, om. Gaulm. 4 ὅλας] ὅλης Gaulm. ἑλεπόλεις] ἐπολέμει Gaulm. (ἐπολέμεις D) 5 ὡς] om. ι νεφῶν] νεφέων Hercherus, sed retractavit in adnot. 5 sq. ἀστραπηβολεῖ] ἀστραποβολεῖ δ (praeter B) ἀστραβολεῖ Gaulm. 6 ὅλους] ὅλας B 7 μοι] μου JM^1 η (praeter B), 7 sq. πολιορκεῖ με] με πολιορκεῖ N, πολιορκεῖ K 8 ἑαυτὸν] αὐτὸν AFX, αὐτὸν GNOT ὅλον] ὅλην BG^2JK μεθέλκεται] ἐφέλκεται B 9 πρὸς] om. JR 10 ἧκον] ἥκω ζ, ἦλθον J, ἦλθων (sic) R 13 ψυχὴν] ψυχὴν καὶ AFλ 14 σιδήρεος] σιδηροὺς (sic) R 15 ῥήσσοντας] ῥύσοντας B, πλήσσοντας Vδ 16 σθένειν] σθενόν V 20 αὐτὸν] τὸν κρατισθένην δ (praeter B) 21 με] μὲν X ἐμὴν] sequitur spatium 3 litt. V.

2 κεφαλὴν ἐστεφάνωσε καὶ μετεστεφάνωσε.” Καὶ τὰ περὶ
τὸν ὕπνον ἐξηγούμην αὐτῷ, τὴν προπομπὴν τοῦ θεοῦ,
τὸ ποικίλον τῆς προπομπῆς, τὰς ἐν χερσὶ λαμπάδας,
τὸν ἐπὶ δίφρου θεόν, τὸν ἐπ' ἐμὲ θυμόν, τὴν ὡς ἐξ
οὐρανοῦ καταρραγεῖσαν φωνήν, τὸν ἐμὸν ἑλκυσμόν, τὴν
ἐμὴν πάθησιν, τὴν τῆς Ὑσμίνης φωνήν, τὴν ὑπὲρ ἐμοῦ
πρεσβείαν, τὴν τοῦ θεοῦ συγγνώμην καὶ ἐπὶ πᾶσι τὸν
3 στέφανον. Ὁ δ' “οὐδὲν καινὸν” φησὶ “πέπονθας. Ἐρᾷς·
οὐ μόνος, ἀλλὰ σὺν πολλοῖς βροτῶν· καὶ τὰ πρὸς ἔρωτας
εὐτυχεῖς, ἐρωμένην ἔχων οὕτω καλὴν καὶ ὅλην ἐρῶσαν
4 καὶ ὑπηρέτην τὸν Ἔρωτα. Καλὸν δέ σοι καὶ ὕπνου
τυχεῖν· ὀφθαλμὸς γὰρ ἐξ ἔρωτος ἀγρυπνήσας ἐλέγχει
ψυχὴν ἐρῶσαν· καὶ ὥσπερ γλῶσσα φιλοκέρτομος οὐκ οἶδε
κρύπτειν μυστήριον, οὕτως ὀφθαλμὸς ὕπνου στερηθεὶς
φαυλίζει τὸν ἔρωτα.”

4 Καὶ ὁ μὲν Κρατισθένης εὐθὺς ὑπνώττων ἀνέρεγχεν,

4 2 τὸν] om. P ἐπ' ἐμὲ] om. B ὡς BGJKμ, om. rell. 5 τὸν — 6 φωνήν] om. ζθ, τὸν ἐμὸν ἑλκυσμόν F^2 6 πάθησιν] πάθεσιν R τῆς] τῆς ἐμῆς G, om. JV Ὑσμίνης φωνήν] ἰσμήνην V 7 πᾶσι] πᾶσι τούτοις η (praeter B) 8 φησὶ] ἔφησε B 9 μόνος] μόνος ἐρᾷς ι πολλοῖς] πολλοῖς τῶν ε (praeter B) ἔρωτας] ἔρωτα V, ἔρωτος A^2Fλ 10 καὶ ὅλην ἐρῶσαν] οὕτως ὡραῖαν, οὕτω πρέπουσαν ἔρωτι V 11 σοι] om. R ὕπνου] ὕπνον P 12 ὀφθαλμὸς] ὀφθαλμοὶ ζθ, ὀφθαλμῶν? Gaulminus, ὀφθαλμοῦ Teucherus ἐξ] om. K ἐξ ἔρωτος] deleverit Hercherus ἀγρυπνήσας] ἀγρυπνίσας F^2NX, ἀγρυπνίας KOζθ, ἀγρυπνία Gaulminus in adnot. et Teucherus in textu, ἄγρυπνοι Le Basius, ἄγρυπνος Hercherus ἐλέγχει] ἐλέγχουσι ζθ, ἐλέγχη σήμ (μ supra lin.; compendiose scriptum pro σήμαινε) μ, ἀνελέγχει Hercheri exemplum editionis Gaulminianae (meum ἐλέγχει), ἀνελέγχουσι Le Basius 14 μυστήριον] μυστήρια Jκ οὕτως] om. X 15 φαυλίζει] φαυλίζειν F, φωτίζει Le Basius 16 καὶ ὁ μὲν] ὁ οὖν ε (praeter B), ὁ γοῦν Hercherus ἀνέρεγχεν] ἀνέρεγξεν? Hercherus.

ἐμοῦ δὲ τοὺς ὀφθαλμοὺς ὁ ὕπνος ἐξέφυγε καὶ ἐδόκουν
νὴ τοὺς θεοὺς ὅλας ὀρύττεσθαι τὰς πλευράς, καὶ νὴ τὸν
Ἔρωτα τὴν στρωμνὴν ἀκάνθινον εἶχον, καὶ ὡς ἐπὶ πυρᾶς
ὀπτούμενος <ἤμην> πυκνὰ στρεφόμενος, ὥσπερ τι θῦμα
2 καινὸν ἐξωπτημένον τῷ Ἔρωτι. Τὴν ἡμέραν ἐπεθύμουν
ἰδεῖν· ὠνειροπόλουν τὴν τράπεζαν καὶ τὴν Ὑσμίνην κιρ-
νῶσαν "ἂν θλίψῃ" λέγων "τὸν δάκτυλον, ἀντιθλιβή-
σεται γενναιότερον. Ἀλλ' ἔθλιψε χθές. Ναὶ θλιβέτω
καὶ πάλιν. Ἂν θλίψῃ, θλιβήσεται· εἰ δ' οὐ θλίψει, 182
3 θλιβήσεται. Ἂν τὸν πόδα ταύτης ἐπιθήσῃ μου τῷ ποδί,
τοῖν ποδοῖν ἐγὼ προσεπιθήσω τὸν ἕτερον· ἂν 'χαίροις'
εἴπῃ, 'ἑκατονταχαίροις' ἀκούσει· ἂν τὸ προσκύνημα κλέψῃ,
προσκυνηθήσεται φανερῶς· ἂν προεκροφῇ μου τοῦ ποτη-
4 ρίου, ὅλην ἐκροφήσω τὴν κόρην αὐτός· ἂν ἐπέχῃ τὴν
κύλικα, καὶ τὴν χεῖρα τῆς κόρης τῷ ποτηρίῳ συνεφελκύ-
σομαι· ἂν τοὺς πόδας συνέχῃ καὶ συνέχουσα θλίβῃ καὶ

1 τοὺς ὀφθαλμοὺς] τῶν ὀφθαλμῶν BN ὁ] om. J ἐξέφυγε] ἐξέφυγεν, ἐρωτοβλήτους γὰρ μάλα τοι φεύγειν (τι φυγεῖν Boissonadius, τι φεύγειν Le Basius) φιλεῖ η (praeter B), ἐξέφυγεν, ἐρωτοβλήτους γὰρ ὕπνος μάλα τοι φεύγειν φιλεῖ Jζ 1 sq. ἐδόκουν νὴ τοὺς θεοὺς ὅλας] ἐδόκουν οὖν νὴ τοὺς θεοὺς ὅλας J, νὴ τοὺς θεοὺς ὅλας ἐδόκουν B 2 πλευράς] πληγάς ε (praeter κ) 3 πυρᾶς] πυρὸς V 4 <ἤμην> scripsi, om. α στρεφόμενος] συστρεφόμενος R ὥσπερ] ἦν ὥσπερ β τι] om. JV 5 καινὸν] καινὸς θ ἐξωπτημένον R, ἐξωπτημένοι V, ἐξωπτημένος GJKθ, ἐξοπτημένος rell. 8 γενναιότερον — 9 θλιβήσεται] om. N 8 ναὶ AFμ, καὶ rell. θλιβέτω θμ, θλιβήτω GJKRV, θλιβείτω ζ, ἐθλίβη B 9 θλιβήσεται] ἀντιθλιβήσεται Gaulm. (D) οὐ] ἴσως οὐ B, εἴσω N[1], εἴσω οὐ N[2] ἴσως O, δ' ἴσως X, οὐδὲ GJKζθ 10 ἂν τὸν] τὸν O, αὐτὸν P 10 πόδα — 11 τοῖν] om. X[1], πόδα θήσει πρὸς τὸν X[2] 10 ταύτης] om. Le Basius ἐπιθήσῃ] ἐπιθήσει GJ[1]ζθ, ἐπιθῇ Hercherus μου] μοι B 12 εἴπῃ ε (praeter B), εἴπει R, εἴποι rell. ἑκατονταχαίροις] ἑκατονταχαῖρ' BGJ, ἑκατονταχαῖρε Vδ, ἑκατοντάκις χαῖρε Teucherus, ἑκατοντάκις χαίροις Hercherus ἀκούσει] ἀκούσῃ V[1]ε τὸ] om. AF 13 ἂν] ἂν τὸ προσκύνημα P[2]T προεκροφῇ] προεκροφᾷ BGV, προεκφορᾷ T, προεκροφήσῃ J μου] μοι ζ (P corr.) 15 τῆς κόρης] ταύτης ε (praeter B) τῷ ποτηρίῳ] om. ε (praeter κ) 16 καὶ συνέχουσα θλίβῃ] om. B θλίβῃ] θλίβει K.

θλίβουσα φιλῇ καὶ φιλοῦσα κλέπτῃ τὸ φίλημα, συνέξω
κἀγὼ καὶ θλίψω καὶ θλίβων φιλήσω, πλὴν οὐχ ὑποκλέψω
5 τὸ φίλημα· ἂν γαργαλίσῃ μου τὸν πόδα, καταγαργαλίσω
τὴν κόρην αὐτός, καὶ πείσω ταύτην ἐξ ἡδονῆς ἀνακαγχάσαι
καὶ ἔρωτος· ἂν μετὰ τὸ δεῖπνον ἀλγήσῃ τὸν πόδα, ἂν
δευτέρα τοῦ πατρὸς ἐρχομένη μονωθῇ τῆς μητρός, ἐπι-
6 λάβωμαι τοῦ πληγέντος ποδός, καταφιλήσω τὸ τραῦμα, τὴν
πληγὴν πολυπραγμονήσω, ζητήσω τὰ πρόσφορα φάρμακα,
κατεπιθήσω ταῦτα, τὴν οὐλὴν καταμαλάξω πᾶσαν ἰατρικῶς,
7 ἐπιστημονικῶς ἐρευνήσω καὶ ὅλην ἰάσομαι. Οὐκέτι τὸν
θυμὸν ὑφέξω τοῦ Ἔρωτος, οὐκέτι κατονειδισθήσομαι τὸν
παρθένον, οὐκέτι τὸν σώφρονα κατειρωνευθήσομαι καὶ
τἆλλ' ὁπόσα νὴ τὸν Ἔρωτα πέπονθα. Ἂν τὰ πρόσφορα
τῇ νυκτὶ ζητήσῃ, συγκοιμηθήσομαι τῇ παρθένῳ, καὶ
νήδυμον τὸν ὕπνον ἀνακηρύξω ποιητικῶς. Ἤδη δέ μοι
τοῖς ὀφθαλμοῖς σπένδεται, καὶ ἤδη κοιμῶμαι."

5 Ἅμα γοῦν ἐγὼ περὶ τὸν ὕπνον καὶ ἡ κόρη περὶ ἐμέ,
καὶ προφθάνει τὴν ἡμέραν καὶ τὸ δεῖπνον ἡ νύξ, καὶ
πάνθ' ὅσ' ἐζήτουν ἰδεῖν παθεῖν τε καὶ δρᾶσαι, ταῦθ'
ὡς ἐν κατόπτροις τοῖς ὀνείροις καὶ εἶδον καὶ ἔπαθον· οὐ

1 φιλῇ] φιλεῖ K κλέπτῃ] κλέπτει JK 1 συνέξω — 3 φίλημα] om. P 2 1. καὶ] καὶ ξυνέχων Hercherus 2. καὶ — ὑποκλέψω] om. T 3 πόδα] πόδα καὶ O^1 καταγαργαλίσω] καταγαργαλίσῃ V 4 ἀνακαγχάσαι] ἀνακαγχάσω O 5 τὸ] τὸν Rζ 6 πατρὸς] πατρὸς ἂν V^1, πατρὸς καὶ τῆς μητρὸς Le Basius ἐρχομένη BGVR, ἐξερχομένη rell. τῆς μητρός] om. Le Basius 6 sq. ἐπιλάβωμαι JKV, ἐπιλαβοῦμαι κ, ἐπιλάβομαι rell. 8 φάρμακα] πάσματα K 9 κατεπιθήσω] κατεπιθήτω P^2 10 ἐρευνήσω] ἐξερευνήσω R, ἀνερευνήσω δ οὐκέτι] οὐκ ἔστι V 11 οὐκέτι] om. F, οὐ ACMTλ τὸν] τὴν JK 14 ζητήσῃ] ζητήσει P 15 τὸν] om. V ἀνακηρύξω] ἀνακηρύξει V μοι] με Rε (praeter κ), μου Hercherus 16 σπένδεται] σπένδεσθαι J 17 γοῦν] γὰρ V, οὖν Gaulm. καὶ] om. B 18 τὸ] τὸν R 19 πάνθ'] ταῦθ' G ὅσ' BJR, ὡς V, ὅσα rell. ἰδεῖν] om. BK παθεῖν] παθεῖν παθεῖν V, μαθεῖν G τε] om. Gaulm. 20 ἐν κατόπτροις] ἐγκατόπτροις Gaulm. τοῖς ὀνείροις] om. NV.

2 γάρ μοι καὶ τὸ δρᾶσαι τὸ δαιμόνιον ἐχαρίσατο. Ὅλον
δεῖπνον ἀναπλάττει μοι τὸ ἐνύπνιον, καὶ συνήθως ἐδόκουν 183
ἀνακεκλίσθαι, καὶ τὴν κόρην κιρνῶσαν ὁρᾶν. Εἰ μὲν οὖν
Σωσθένης καὶ Πανθία συνήθως προέπιον, ἀκριβῶς οὐκ
οἶδα νὴ τὸν ἐν ὕπνοις Ἔρωτα· πρὸς ἐμὲ δ' ἧκεν ἡ
κόρη κιρνῶσα, καὶ ὅλην αὐτὴν τοῖς ὀφθαλμοῖς μου κατέ-
πινον, ὅλην ἐξερρόφουν, ὅλην πρὸς τὴν ψυχὴν ἐπεβίβαζον.
3 Ἡ δέ μοι "λάβε" φησὶ "τὸ ποτήριον." Ἐγὼ δὲ πάλιν
ἀτενῶς ἑώρων αὐτήν· ἐκτείνω δ' ὅμως τὴν χεῖρα λαβεῖν
καὶ τῆς παρθένου θλίβω τὸν δάκτυλον καὶ τὸν πόδα τῷ
ποδί μου προσεπιθλίβω "χαίροις" ὑποψιθυρίσας τῇ κόρῃ
λεπτὸν καὶ οἷον ἐκείνη προεψιθύριζεν· ἡ δ' οὐκ ἀντεῖπεν
4 οὐδ' ἀντέδρασεν, ἀλλ' ὡς ἐξ αἰδοῦς ἠρυθραίνετο. Τροφαὶ
ποικίλαι συνήθως περὶ τὴν τράπεζαν· ἐγὼ δ' ὡς ἀληθῶς
ἐπείνων κατ' ὄνειρον, καὶ ὅλος κατ' ὄνειρον ἐτρεφόμην·
τροφὴ δέ μοι καὶ πόσις καὶ ὀφθαλμοῦ καὶ ψυχῆς Ὑσμίνη
παρθένος, πρὸς ἣν καὶ μόνην ἀτενέστερον ἔβλεπον.
5 Ἧκε πάλιν ἡ κόρη προτεινομένη τὸ ἔκπωμα· πότου
γὰρ ἐκάλει καιρός· ἐγὼ δὲ λαβὼν καὶ μικρὸν ἐκροφήσας
τὸ πᾶν ἀντιδέδωκα πρὸς τὴν παρθένον εἰπὼν "κοινοῦμαί

1 μοι] με δ τὸ] τι R δαιμόνιον] δαιμονίσαι Teucherus ὅλον] ὅλον τὸ J 2 μοι] με ζ, μου B ἐνύπνιον] δαιμόνιον ζθ 3 ὁρᾶν] ὁρῶ η (praeter B) εἰ] ὁ ι οὖν] om G^1 4 συνήθως] om. θ προέπιον] προύπιον Hercherus ἀκριβῶς] om. G^1 5 οἶδα] εἶδον JR ὕπνοις] ὕπνον P^1 7 ἐξερρόφουν] ἐξερρόφων J^2, ἐξερρόφουν τὴν κόρην ε (praeter B) 2. ὅλην] καὶ B πρὸς] ἐπὶ δ (praeter B) ἐπεβίβαζον JVRζ, μετεβίβαζον rell. 8 ἡ δέ] καὶ δή M 9 ἐκτείνω] τείνω G^1 δ'] δ' οὖν B ὅμως] corruptum videtur Herchero 10 1. καὶ] om R^1 10 sq. τῷ ποδί] τοῖς ποσί ζ 12 προεψιθύριζεν] προεψιθύρισεν J, προσεψηθύρισεν V, προσεψιθύριζεν B, προυψιθύριζεν Hercherus οὐκ GV, οὔτ' BK, οὐδ' rell. 13 οὐδ' RVT, ὅτ' οὐδ' G, οὔτ' rell. ἀντέδρασεν] αὖ ἀντέδρασεν K ἠρυθραίνετο] ἠρυθαίνετο K 14 ποικίλαι συνήθως R, συνήθως ποικίλαι V, ποικίλαι συνήθεις rell. περὶ] ἐπὶ Rκ 15 ἐπείνων Graessius, ἐτίμων α 1. κατ' Hercherus, τὸν α καὶ — 2. ὄνειρον] om. T 2. ὄνειρον] ὄναρ R 16 δέ μοι] δ' ἐμοὶ R ὀφθαλμοῦ] ὀφθαλμὸς V, ὀφθαλμοὶ ε (praeter κ) ψυχῆς] ψυχὴ Vε (praeter κ).

6 σοι τὸ ποτήριον." Τέλος εἶχε τὸ δεῖπνον, ὅ μοι καθ'
ὕπνους ὄνειρος ἐρωτικῶς ἡτοιμάσατο ἢ μᾶλλον Ἔρως ἐν
ὀνείροις ἐσκεύασε. Καὶ ἡμεῖς περὶ τὸ δωμάτιον, καὶ Σω-
σθένης καὶ Πανθία συνήθως ἡμῶν ἀπηλλάττοντο· ἐγὼ
7 δὲ καὶ Κρατισθένης ἀνακεκλίμεθα. Καὶ δὴ τὴν Ὑσμίνην
6 περὶ τὴν κλίνην ὁρῶ τὴν ἐμήν, ἣν μηδὲν αἰδεσθεὶς ὅλαις
ἐφέλκομαι ταῖς χερσί, καὶ τῇ κλίνῃ παρακαθίζω· Ἔρως
γὰρ ἀναιδείας πατήρ. Ἡ δ' αἰδεῖται μὲν ὡς παρθένος
καὶ τὴν μὴ πειθομένην τὰ πρῶτα καθυποκρίνεται, νικᾶται
δ' ὅμως ὡς παρθένος ἀνδρός, ὅτι καὶ πρὸ τῆς ἐμῆς ταύτης
χειρὸς ἐξ Ἔρωτος ἥττηται.

6 Καὶ ἡ μὲν τοὺς ὀφθαλμοὺς ἐπὶ τὴν γῆν ἐπαττά- 184
λευσεν, ἐγὼ δὲ τοὺς ἐμοὺς ὅλους ἐπὶ τὸ τῆς κόρης ἀνε-
σκολόπισα πρόσωπον· ἦν γὰρ πλῆρες φωτός, πλῆρες χά-
ριτος, πλῆρες ἡδονῆς· ὀφρὺς μέλαινα, τὸ μέλαν ἄκρατον,
2 ἶρις τὸ σχῆμα ἢ κατὰ σελήνην μηνοειδές· ὄμμα μέλαν,
γοργὸν καὶ μάλα φαιδρόν· ὁ κύκλος αὐτῷ κατὰ μέρος
ὠξύνετο· καὶ ἦν τὸ σχῆμα τοῖς ὀφθαλμοῖς κωνοειδὲς
μᾶλλον ἢ κυκλοειδές· ἡ περὶ τὴν ἐπιβλεφαρίδα θρὶξ παν-

1 ποτήριον] ποτήριον. ἐγὼ δὲ πάλιν ἀτενῶς ἑώρων αὐτὴν καὶ ι 2 ἐρωτικῶς] ἐρωτικὸς δ (praeter X) 2 sq. Ἔρως ἐν ὀνείροις] ἐν ὀνείροις ἔρως ι (praeter O), ἔρως ὀνείροις JRζϑ 3 ἐσκεύασε] ἐσκεύαζε Gaulm. ἡμεῖς] ὑμεῖς CM 5 δὴ] om. G 6 περὶ τὴν κλίνην ὁρῶ τὴν ἐμήν] ὁρῶ περὶ τὴν ἐμὴν κλίνην ε (praeter B) ἣν] ἣν δὲ N ὅλαις] ὅλην κ 7 ἐφέλκομαι ταῖς χερσί] ἐφέλκομαι τῇ χειρί (χερί B) κ, ἐφελκόμην ταῖς χερσί N, ταῖς χερσὶν ἐφειλκόμην J 8 μὲν] με P 9 καὶ — 10 παρθένος] om. G[1] 9 νικᾶται] νικᾷ τε X, νικᾷ R 10 παρθένος] παρθένου J[1] 10 ὅτι — 11 ἥττηται] om. ϑ 10 πρὸ] πρὸς P ταύτης] om. ζ 12 sq. ἐπαττάλευσεν] ἐπατάλευσεν A[2]Fμ (X[1]), ἐπετάλευσεν A[1]ζ, ἐπατάλευεν N, ἐπετάλευεν B, ἐμετάλλευεν V 13 ὅλους] ὅλως B, om. J τὸ] om. O 14 γὰρ] γὰρ τὸ τῆς κόρης πρόσωπον J 15 μέλαινα] μέλαιναι R τὸ μέλαν ἄκρατον] om. β 16 μηνοειδές] μηνοειδής β 17 αὐτῷ BK, αὐτῶν G, αὐτοῦ rell. 18 τοῖς ὀφθαλμοῖς] om. B κωνοειδὲς GJVκ, κονοειδὲς KR, κιονοειδὲς (κιονειδὲς P) ε 19 μᾶλλον ἢ V, οὐ μᾶλλον K, οὐ μᾶλλον δὲ G, ἢ μᾶλλον rell., μᾶλλον δὲ Le Basius ἐπιβλεφαρίδα] βλεφαρίδα Vε.

τελῶς ἐμελαίνετο· καὶ ἦν ὁ τῆς κόρης ὀφθαλμὸς ὄντως
3 Ἔρωτος κάτοπτρον. Παρειὰ λευκή· τὸ λευκὸν ἄκρατον, ἐς ὅσον οὐκ ἠρυθραίνετο· τὸ μέσον ἐρυθρόν· τὸ ἐρυθρὸν διεσπασμένον καὶ οἷον διεσπαρμένον, οὐχ οἷον πλάττει χεὶρ καὶ τέχνη βάπτει καὶ νὺξ μαραίνει καὶ ὕδωρ ἐκπλύνει. Τὸ στόμα συμμέτρως διέρρηκται· τὸ πολὺ τῆς σαρκὸς τῶν χειλέων διέρριπται, καὶ ἄμφω τὼ χείλη φοινίσσεται.
4 Εἴποις ἰδὼν ῥόδον ἐκθλῖψαι τὴν κόρην τοῖς χείλεσι. Χορὸς ὀδόντων λευκός, συστοιχίαν φέρων εὐάρμοστον καὶ πρὸς τὸ χεῖλος ἀνάλογον, ὡς παρθένοι τοῖς χείλεσιν οἰκουρούμενοι. Ὅλον τὸ πρόσωπον κύκλος ἀνεπισφαλής· ἡ ῥὶν κέντρου λόγον ἐπέχει πρὸς ὅλον τὸ κύκλωμα, καὶ εἰ μὴ φρίσσω τὸν Ἔρωτα καὶ μᾶλλον ἐκ τῆς πείρας αὐτῆς, εἶπον ἂν — ἀλλὰ σιγήσω τὸ ἐφεξῆς, ἵνα μὴ καὶ πάλιν καταβροντήσῃ με τὸ μειράκιον.
7 Ἅπτομαι τῆς χειρός, ἡ δ' ἐπιχειρεῖ συνάγειν ταύτην καὶ περικαλύπτειν εἰς τὸ χιτώνιον· ἀλλ' ὅμως κἂν τούτῳ νικῶ. Ἐφέλκομαι ταύτην περὶ τὸ χεῖλος, καταφιλῶ καὶ καταδάκνω πυκνά· ἡ δ' ἀντεφέλκεται καὶ ὅλη συστέλλεται.

1 ὄντως] om. BGJ 2 Ἔρωτος κάτοπτρον] κάτοπτρον ἔρωτος N παρειὰ λευκή] παρειαὶ λευκαί J 3 ἠρυθραίνετο] ἠρυθαίνετο K τὸ ἐρυθρὸν Kζ, om. rell., ἐρυθρὸν Le Basius 4 διεσπαρμένον] συνεσπαρμένον B 4 πλάττει — 5 βάπτει] βάπτει γὰρ καὶ πλάττει V 4 πλάττει] πλάττοι F, βάπτει G^1 6 πολὺ] ἐπιπολὺ ι (X^2) 7 διέρριπται] διέρριπτο R, διέρρηκται B τὼ BGV^2R, τῶ V^1, τὰ rell. χείλη] χεῖλε B, χεῖλει V^1 8 εἴποις] εἶπες G, εἴποις ἂν κ 9 λευκός] om. B συστοιχίαν] συστοιχείαν ε (praeter BO), συστοίχησιν V 10 παρθένοι] παρθένου ε (praeter B) 10 sq. οἰκουρούμενοι] οἰκουρούμενος ϑ 12 κέντρου λόγον] κέντρου λέγεται λόγον V, κέντρον λόγου J ἐπέχει] ἐπέχειν V 12 πρὸς — 13 φρίσσω] om. Teucherus 12 πρὸς ὅλον] om. Le Basius καὶ] om. J 13 φρίσσω] φρίσσων P αὐτῆς] om. ϑ 14 τὸ] τὰ Hercherus 15 καταβροντήσῃ με] καταβροντήσει με R, καταβροντήσω G^1 16 τῆς] om. BGK ἐπιχειρεῖ] ἐπιχειρὶ G συνάγειν] συναγαγεῖν ε ταύτην] αὐτὴν V 17 καὶ περικαλύπτειν — χιτώνιον] εἰς τὸ χιτώ(όΝΟ)νιον καὶ περικαλύπτειν ι ὅμως] ὅλως ζ (ὡς P) ϑ κἂν] κἀκ B τούτῳ] τοῦτο R, τούτων B 18 καὶ] om. Vε (praeter B).

2 Περιπτύσσομαι καὶ τὸν τράχηλον καὶ τὰ χείλη τοῖς χείλε-
σιν ἐπιτίθημι καὶ φιλημάτων πληρῶ καὶ καταστάζω τὸν
ἔρωτα· ἡ δ' ὑποπλαττομένη συνάγειν αὐτὰ δάκνει μου τὸ
3 χεῖλος ἐρωτικῶς καὶ ὑποκλέπτει τὸ φίλημα. Τοὺς ὀφθαλ- 185
μοὺς κατεφίλησα καὶ ὅλον εἰς τὴν ψυχὴν ἀνιμησάμην
τὸν ἔρωτα· ὀφθαλμὸς γὰρ ἔρωτος πηγή. Γίνομαι καὶ περὶ
τὸ στέρνον τῆς κόρης· ἡ δ' ἀντέχεται μάλα γενναίως καὶ
ὅλη συστέλλεται καὶ ὅλῳ σώματι περιτειχίζει τὸν μαστὸν
4 ὡς πόλις ἀκρόπολιν, καὶ χερσὶ καὶ τραχήλῳ καὶ πώγωνι
καὶ γαστρὶ τοὺς μαστοὺς καταφράττει καὶ περιφράττει·
καὶ κάτωθεν μὲν ἀνέχει τὰ γόνατα, ὡς ἐξ ἀκροπόλεως
δὲ τῆς κεφαλῆς ἀκροβολίζει τὸ δάκρυον, μονονοὺ λέγουσα
"ἢ φιλῶν μαλαχθῇ μου τοῖς δάκρυσιν ἢ μὴ φιλῶν ὀκνή-
5 σει τὸν πόλεμον." Ἐγὼ δὲ τὴν ἧτταν αἰδούμενος ἀντέ-
χομαι βιαιότερον καὶ μόλις νικῶ, καὶ νικῶν ἡττῶμαι καὶ
ὅλος ἀμβλύνομαι. Ἅμα γὰρ ἡ χεὶρ περὶ τὸν τῆς κόρης
μαστόν, καὶ χαυνότης ὅλη περὶ τὴν ἐμὴν καρδίαν ἐπέρ-

1 περιπτύσσομαι] π. τὸν λαιμὸν X^2 1. καὶ] καὶ ὅλον δ (praeter B) τὰ χείλη] τὸ χεῖλος B 2 ἐπιτίθημι] ἐπιτίθεμαι ε (praeter B) 3 ὑποπλαττομένη] ἐπιπλαττομένη ε (praeter B) συνάγειν] συναγαγεῖν ι, μου συνάγειν V 5 κατεφίλησα] καὶ κατεφίλησα G ἀνιμησάμην] ἀνεμασάμην J, ἀνεβιβασάμην V 6 post ἔρωτα: 3 ἡ — 6 ἔρωτα K ὀφθαλμὸς] ὀφθαλμοὶ N καὶ] γὰρ καὶ V 7 ἀντέχεται] ἀντέχει ϑ μάλα] μου ἀλλὰ ζ 8 καὶ ὅλῳ σώματι] καὶ ὅλω σώματι καὶ μ, ὅλω σώματι καὶ F^2N, ὅλω τῷ σώματι καὶ B, καὶ ὅλῳ τῷ σώματι O-annus περιτειχίζει] περικαλύπτει V μαστὸν R, μασθὸν G, μαζὸν rell. 9 πόλις ἀκρόπολιν GJNVRκ, πόλις ἀκρόπολις K, πόλιν ἢ ἀκρόπολιν F^1, πόλιν ἰακρόπολιν O, πόλιν ἀκρόπολιν X^1, πόλιν ἀκρόπολις rell. 2. καὶ] om. μ 10 καὶ γαστρὶ] om. ϑ καὶ περιφράττει] om. R 11 καὶ κάτωθεν] κάτωθεν V, κάκάτωθεν (sic) F 12 μονονοὺ λέγουσα] μονοὺ λ. RV, om. J 13 μαλαχθῇ] μαλάχθητί Gaulm. μου JR, μοι rell. 13 sq. ὀκνήσει] ὀκνήσεις Hercherus 14 δὲ R, δὲ μᾶλλον rell. 15 1. καὶ — ἡττῶμαι] om. M^1 15 sq. καὶ ὅλος ἀμβλύνομαι] om. K 16 ὅλος] ὅλως AF^1Gλ 16 sq. τῆς κόρης μαστόν] μαζὸν τῆς κόρης N 17 ἐμὴν] ἐμὴν τὴν ψυχήν, τὴν ἰσχὴν P^1.

6 ρευσεν." Ἤλγουν, ἠθύμουν, καινόν τινα τρόμον ἔτρεμον,
ἠμβλυνόμην τὴν ὄψιν, ἐμαλθακιζόμην τὴν ψυχήν, τὴν
ἰσχὺν ἐχαυνούμην, ἐνωθρευόμην τὸ σῶμα, ἐπείχετό μοι
τὸ ἄσθμα, πυκνὸν κατεπάλλετό μοι τὸ περικάρδιον, καί
τις ὀδύνη γλυκάζουσα κατεπέδραμέ μου τὰ μέλη καὶ οἷον
ὑπεγαργάλισε, καὶ ὅλον με κατέσχεν ἄρρητος ἔρως ἀνεκ-
λάλητος, ἄφραστος· καί τι πέπονθα, νὴ τὸν Ἔρωτα,
7 οἷον οὐδέποτε πέπονθα. Εὐθὺς οὖν ἐξέπτη μου τῶν χει-
ρῶν ἡ κόρη, ἢ μᾶλλον εἰπεῖν οἰκειότερον ἐκεῖναι νωθρῶς
οὕτω καὶ μαλακῶς τῆς κόρης ἐξέπεσον· ἐξέπτη δέ μου
καὶ ὁ ὕπνος τῶν ὀφθαλμῶν, καὶ ἠνιώμην νὴ τὸν Ἔρωτα
οὕτω καλὸν ἀπολέσας ὄνειρον καὶ τῆς ἐμῆς φίλης Ὑσμίνης
ἀποσπασθείς· καὶ ἤθελον πάλιν ὑπνοῦν καί τι πάσχειν
ἐρωτικόν, οἷον καθ' ὕπνους ἔπαθον.

8 Ἐπεὶ δ' οὐ συνεχωρούμην τῷ Κρατισθένει καὶ τῷ
καιρῷ, γίνομαι πάλιν περὶ τὸν κῆπον· πρὸ γὰρ τῆς θύρας 186
ἦν τοῦ δωματίου. Καὶ ἤμην ὅλος ἐωνημένος τῇ κόρῃ, καὶ

1 τρόμον] τρόπον G ἔτρεμον] ὑπέτρεμον R^2ι(N^2), τρεμον N^1 2 ἠμβλυνόμην τὴν ὄψιν] ἠμβλυνόμην τὴν ψυχήν P, ἐσβέννυτό μου ἡ ὄψις F^2, ἐσβέννυτό μοι ἡ ὄψις B 4 1. τὸ — μοι] om. Teucherus πυκνὸν] πυκνὸν καὶ G 5 γλυκάζουσα] γλυ(in fine paginae) V κατεπέδραμέ] καθυπέδραμέ Hercherus οἷον] λίαν ι 6 ὑπεγαργάλισε] ὑπερεγαργάλισε BJ, ὑπεγκάλισε F^1, ὑπεργαργάλισε Gaulm. ὅλον] οἷον J ἄρρητος] ἀρρήτως O, ἀρρήκτως R ἄρρητος ἔρως] ἔρως τις ἄρρητος J 6 sq. ἀνεκλάλητος, ἄφραστος] glossatoris esse suspicatur Hercherus 7 ἄφραστος] ἀνέκφραστος N τι] τοι G, om. F^1 7 Ἔρωτα — 8 οὖν] αὐτὸν X^1 7 Ἔρωτα] αὐτὸν ἔρωτα O, ἔρωτα πέπονθα F^2, αὐτὸν ἔρωτα πέπονθα B 8 οὐδέποτε] οὐδέπωτε V, οὐδέπω GJ εὐθὺς οὖν] om. X^2 9 οἰκειότερον] οἰκειότεροι R 10 οὕτω] οὕτως η (praeter B) 11 ὕπνος] ὕπνος εὐθὺς N^1, ὕπνος εὐθὺς ἐκ ε (N^2, praeter B) 12 καὶ] om. G ἐμῆς] om. J, ἐμοῦ Gaulm. 13 1. καὶ] om. N 14 ἐρωτικόν] ἐζήτουν ἐρωτικόν θ, ἐρωτικὸν ἐζήτουν λ οἷον — ἔπαθον] om. θ ὕπνους] ὕπνον P^1 ἔπαθον] ἔπασχον ι, ἔρωτος P^1 16 πάλιν περὶ τὸν κῆπον] πάλιν ἐπὶ τὸν κῆπον V, περὶ τὸν κῆπον πάλιν R 17 ὅλος] ὅλως Fζ, om. G τῇ κόρῃ] τὴν κόρην ε (praeter κ).

ψυχὴν καὶ σῶμα καὶ ὀφθαλμούς, καὶ ὅλος βεβακχευμένος
2 ἐξ ἔρωτος. Ἥκω τοίνυν περὶ τὸν ἐν τῷ κήπῳ θεόν, τὸν
γεγραμμένον Ἔρωτα· καὶ πρῶτα μὲν προσκυνῶ, τοῦτο
δὴ τὸ δουλοπρεπές, εἶτα καὶ λοιδορῶ τὸν ζωγράφον ὅτι
μὴ τὴν Ὑσμίνην τῷ χορῷ τῶν δούλων ἐγγράψαιτο, παρ-
θένον οὕτω καλήν, οὕτως ὡραίαν, οὕτω πνέουσαν ἔρωτος,
3 οὕτω φιλοῦσαν Ἔρωτα, καὶ φιλουμένην ἐξ Ἔρωτος· τοὺς
ὀφθαλμοὺς ὅλους τείνω πρὸς τὴν γραφὴν καί φημι πρὸς
τὸν Ἔρωτα "τῆς ἐξουσίας σου, βασιλεῦ. Οὐκέτι παλινο-
στήσω πρὸς Εὐρυκώμιδα· οὐκέτι προσπόλοις Διὸς συντα-
χθήσομαι· ἔχει με πολίτην Αὐλίκωμις ἐξ ἐρωτικῶν γραφῶν
9 πολιτογραφούμενον." Καὶ ὁ Κρατισθένης "εἶτ' οὐκ αἰδῇ
τὸ κηρύκειον; οὐκ αἰδῇ τὰ Διάσια, ὧν κῆρυξ ἧκες ἐπ'
Αὐλικώμιδα; οὐκ αἰδῇ τὸν Θεμιστέα πατέρα τὸν σὸν καὶ
τὴν τῶν πολλῶν ἐτῶν κληροῦχον Διάντειαν; μή μοι δύσε-
2 ρως εἴης. Καλὴ μὲν Ὑσμίνη καὶ λίαν καλή, καὶ νέμεσις
οὐδεμία

τοιῇδ' ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα πάσχειν·

2 ψυχὴν] ψυχῇ R σῶμα] σώματι R ὀφθαλμούς] ὀφθαλμόν K, ὀφαλμόν V βεβακχευμένος] ἐκβεβακχευμένος ι 2 ἐξ ἔρωτος] om. O[1] τοίνυν] om. G τὸν ἐν τῷ κήπῳ θεόν] τὸν ἐν κήπω θεόν BJ, τὸν ἐν κήπω τοίνυν θεόν G, om. Le Basius 2. τὸν] om. V 3 πρῶτα] πρῶτον V 4 δὴ] δεῖ R 5 μὴ R, μὴ καὶ β δούλων BJR, δούλων παρθένων rell. ἐγγράψαιτο scripsi, ἐγγράψοιτο GKRV, γράψοιτο ζ, ἐγράψατο rell., ἐγράψαιτο Gaulm., ἐνεγράψατο Hercherus 6 ἔρωτος] ἔρωτας P[1], ἔρωτα P[2] 7 οὕτω — Ἔρωτος] om. K οὕτω] οὕτως O Ἔρωτα] τὸν ἔρωτα GVι 9 σου] τοῦ J, σού εἰμι ι 10 προσπόλοις] πρόσπολος κ (F[2] corr. in — λοις), πρὸς πόλιν ε, πολίταις Gaulminus 11 γραφῶν] βαφῶν KR 13 τὰ — 14 αἰδῇ] om. O[1] 13 ἧκες] ἦλθες JRη (praeter B) 14 Αὐλικώμιδα] αὐλικώμιδος Jζ, αὐλικωμιδια X, Αὐλίκωμιν Hercherus πατέρα] πατέρα ἐπ' αὐλικώμιδα O[1] σὸν] sequitur spatium 20 litt. O 15 τὴν — κληροῦχον] τὴν τῶν πολλῶν κληροῦχον (— ούχων R) ἐτῶν BR, τὴν πολλῶν κληροῦχον ἐτῶν τὴν G, πολλῶν κληροῦχον ἐτῶν τὴν J μὴ] καὶ μὴ AF'λ 16 μὲν] om. V 18 τοιῇδ'] τοιῇδε Le Basius πολὺν] πολλὴν AF, πολλὰ ζ χρόνον] om. ζ.

ἀλλ᾽ ὁ πατὴρ ἐπὶ σοὶ τὰς ἐλπίδας σαλεύει· σὲ γήρως
ἔχει βακτηρίαν καὶ ψύχους θέρμην καὶ καύματος ζέφυρον.
3 Εἶτ᾽ οὐκ ἐλεεῖς τὴν μητέρα, ἥτις σε πνεῖ καὶ λαλεῖ καὶ
σοι γέγηθε καὶ τῶν τοῦ γήρως κακῶν ἐπιλήθεται; μή
πρὸς θεῶν, Ὑσμινία, μὴ πρὸς Διός, οὗ κῆρυξ ἧκες ἐξ
Εὐρυκώμιδος· μὴ πρὸς Ἔρωτος, οὗ δοῦλος ἐν Αὐλικώμιδι
4 γέγονας. Φεῖσαι πατρὸς πολιᾶς· φεῖσαι δακρύων μητρός·
φεῖσαι πατρίδος ἡμῶν, ἡλικιωτῶν, φίλων· φεῖσαι θιάσου
λαμπροῦ· φεῖσαι λαμπρᾶς ἀγορᾶς· φεῖσαι προπεμπτηρίων
5 ᾠδῶν, ἃς ὁ πατήρ σοι καὶ πατρὶς συνεπλέξατο. Ἀναλόγισαι
τὸν πατέρα, οἷον οἰμώξεται· ἀναλόγισαι τὴν μητέρα, οἷον 187
κόψεται, οἷον θρηνήσει, ὄντως ἐλεεινόν, ὄντως ἄγριον καὶ
οἷον τρυγὼν ἐπὶ νεοττοῖς ὀλλυμένοις. Οὐ νέκταρ Ὑσμίνη
σοι κατεκέρασεν, οὐκ ἐξ Αὐλικώμιδος οἶνον, ἀλλ᾽ οἷον
6 Ἑλένης λαθικηδὲς φάρμακον. Ἐπελάθου πατρός, μητρός,
πατρίδος, ἡλικιωτῶν, ἑταίρων, οὕτω λαμπρᾶς ἀγορᾶς καί,
τὸ δὴ μεῖζον, ἱεροῦ Φιλίου Διός. Ὦ πάντα κακαὶ γυναῖκες
καὶ κατὰ τὸν σοφὸν

1 γήρως] γήρους BGVR, γῆρας P[1] 3 τὴν] τὴν σὴν Bμ, τὸν P σε] σοι η λαλεῖ] καλεῖ P[1] 4 γέγηθε] γεληθε O, λεληθε θ γήρως] γήρους RV 5 θεῶν] θεόν K Διός] θεοῦ JR 5 sq. ἧκες ἐξ Εὐρυκώμιδος] ἐξ εὐρυκώμιδος ἧκες F[2]P[2]TV, εὐρυκώμιδσς ἧκες AF[1]ζλ 7 1. φεῖσαι] φείσω O 8 φίλων] ἑταίρων, φίλων ι 10 ᾠδῶν] ᾠδῆς V, ὁδῶν R σοι] σου λ, om. P καὶ] καὶ ἡ V ἀναλόγισαι] ἀναλόγησαι BVR 11 τὸν] τὸν σὸν ι πατέρα] πατέραν R οἰμώξεται — οἷον] om. V οἰμώξεται] οἰμώζεται P, οἰμώξεται θρῆνον ι ἀναλόγισαι] ἀναλόγησαι BR 12 οἷον θρηνήσει] om. B ὄντως — ὄντως] οὕτως — οὕτως P 13 τρυγὼν] τρυγῶνος B ἐπὶ] ἐπὶ τοῖς B ὀλλυμένοις] ὀλωλυμένης κ 14 σοι] σε ε οὐκ] om. B Αὐλικώμιδος] εὐρυκώμιδος BGJKV οἶνον] οἷον P 15 λαθικηδὲς G, λαθηκηδὲς KV, λαθυκηδὲς J, λαθηκεδὲς ζ, λαθηδεκὲς θ (λαθητεκὲς A) λ, λαθησικεδὲς κ, καθηδὲς R 17 sq. κακαὶ γυναῖκες καὶ] om. η (praeter κ) 18 τὸν σοφὸν] τῶν σοφῶν R.

ἔσθλ' ἀμηχανώτατοι,
κακῶν δὲ πάντων τέκτονες σοφώτατοι.

7 Εἶτ' Ὀδυσσεὺς ἐκεῖνος οὐ κήρυξ ἦν, ἀλλὰ δοῦλος, ἀλλὰ
ξένος, ἀλλὰ πλανώμενος· ὁ δὲ καπνὸν πατρίδος οὐ μόνον
ἐλευθερίας, ἀλλὰ καὶ θεώσεως αὐτῆς τιμιώτερον ἔκρινε·
σὺ δ' ἔρωτος πυρὶ καὶ δοῦλος γίνῃ καὶ τὸ σὸν ἀπεμπολεῖς
8 μοι κηρύκειον." Κἀγὼ πρὸς τὸν Κρατισθένην "ἰδοὺ Σω-
σθένης, καὶ σίγα, μή μου θριαμβεύσῃς τὸν ἔρωτα." Καὶ
ὁ Σωσθένης "τὰ μὲν δὴ πρὸς τὴν ἑορτὴν εὖ διεθέμεθα·
καιρὸς δὲ δείπνου, καὶ περὶ τὸ δεῖπνον γενώμεθα."

10 Ἐπὶ τὸν συνήθη γοῦν καὶ πάλιν τόπον ἀνακεκλί-
μεθα καὶ πάλιν ἐπίνομεν· ὀλίγος γάρ μοι λόγος τροφῆς,
οὐχ ὅτι πόσις μοι προτιμοτέρα, ἀλλ' ὅτι μοι παρθένος
οἰνοχοεύει, καὶ παρθένος Ὑσμίνη γλυκυτέρα καὶ νέκταρος.
2 Καὶ πάλιν Ὑσμίνη κιρνᾷ, καὶ πάλιν ἐραστὴς ἐγώ, καὶ
πάλιν ἀνάπτω τὸν ἔρωτα· ὥσπερ γὰρ ἄνεμος ἐν καλάμῃ
καὶ χόρτοις ἀνάπτει πῦρ μαραινόμενον, οὕτως ὀφθαλμὸς
3 ἐν ἐρῶσιν ἀνάπτει τὸν ἔρωτα. Πάλιν Ὑσμίνη πυρπολεῖ
με κατὰ ψυχῆς· πάλιν ὅλους εἰς ἑαυτὴν ἐφέλκεταί μου

1 ἔσθλ'] ἔσθ' CR, ἔστ' J, ἔθλ' F^1 ἀμηχανώτατοι] ἀμηχανώταται η (praeter N), addunt κακαὶ γυναῖκες η (praeter κ) 2 κακῶν] καλῶν G^1 πάντων] πάντων ἢ B, πάντων εἶτε (sic) F^2 3 εἶτ' Ὀδ.] εἶθ' ὀδ. KVR 4 ὁ δὲ] ὃς καὶ η (praeter κ) 6 ἔρωτος] ἔρως V γίνῃ] εἶ η (praeter B) ἀπεμπολεῖς] ἀπεμπολᾶς P^1ϑ, ἀπεμπολοῖς P^2, ἀμπεπολᾶς μ, ἀπεμπωλεῖς V 7 μοι] om. Jε (praeter κ) 8 θριαμβεύσῃς] καταθριαμβεύσῃς ε (praeter κ) 9 δὴ] οὖν Jε (praeter B) πρὸς] περὶ G 10 τὸ] τὸν Rζ 11 καὶ — 11 sq. ἀνακεκλίμεθα] om. O^1 12 λόγος] π λόγος N^1, πόθος Jζϑ 13 οὐχ — προτιμοτέρα] om. BJ πόσις μοι] μοι πόσις R, πόσις G προτιμοτέρα R, προτιμότερον τροφῆς F, προτιμοτέρα τροφῆς rell. 2. μοι] om. J 14 οἰνοχοεύει, καὶ παρθένος] om. V Ὑσμίνη] οὕτω καλὴ κ 15 1. καὶ — ἐγώ] om. Gaulm. (D) Ὑσμίνη κιρνᾷ, καὶ πάλιν] om. X 16 καλάμῃ] καλάμοις Gaulm. χόρτοις] χόρτῳ ε 17 μαραινόμενον] μαραινομένοις Le Basius οὕτως] οὕτω N 18 ἐρῶσιν] ἔρωσιν κ 19 πάλιν] πάλιν πάλιν G, καὶ πάλιν J ὅλους] ὅλος R, om. B.

τοὺς ὀφθαλμούς· πάλιν τὸν Ἔρωτα βλέπω, τὰ βέλη
φρίσσω, τὸ πῦρ φοβοῦμαι, δειλιῶ τὸ τόξον καὶ τὴν δούλω-
4 σιν κατασπάζομαι. Ἡ τράπεζα ποικίλλεται ταῖς τροφαῖς·
ἡ χείρ μοι περὶ ταύτας, ὀφθαλμοὶ πρὸς Ὑσμίνην, καὶ 188
νοῦς μοι πρὸς ἔρωτα· οὕτω μοι τὰ μέλη διέσπασται καὶ
τὰ μέρη διέσπαρται· τὸ περὶ τὴν τράπεζαν ποικίλον τοὺς
δακτύλους ἐφέλκεται, ἡ πόσις τὰ χείλη, τοὺς ὀφθαλμοὺς
τῆς κόρης τὸ χάριεν, καὶ ὁ Ἔρως τὸν νοῦν, ἢ τἀληθέ-
στερον εἰπεῖν, πάνθ' ἡ κόρη, καὶ χεῖρας καὶ χείλη καὶ
5 ὀφθαλμοὺς καὶ τὸν νοῦν. Οὕτως ἐγὼ δουλογραφοῦμαι τῷ
11 Ἔρωτι καινήν τινα δούλωσιν καὶ ἣν οὐδεὶς οὐδέπω δεδού-
λωται, οὐ μόνον σώματος, ἀλλὰ καὶ ψυχῆς.

2 φοβοῦμαι] φοβεῖ με ϑ, φοβεῖμαι μ 3 ποικίλλεται] ποικιλλοῦται ε (praeter κ) τροφαῖς] τρυφαῖς GKκ 4 μοι] μου M[1] ταύτας] ταύταις R ὀφθαλμοὶ] ὀφθαλμὸς BG καὶ] καὶ ὁ ε (praeter κ) 5 1. μοι] om. KN, μου ε (praeter κ) 2. μοι] μου η 5 καὶ — 6 διέσπαρται] om. X 5 sq. καὶ τὰ BGV, καὶ K, τὰ rell. 6 μέρη] μέλη CV[1] 7 ἡ πόσις] ὁπότερος K 8 κόρης] ὑσμίνης η (praeter B), ἰσμήνης JR, ἰσμίνης ζ χάριεν] πρόσωπον G 8 ἢ — 10 νοῦν] om. GJ 8 ἢ] εἴη X[1], εἰ δὴ X[2] 9 πάνθ'] ἅπανθ' ε (praeter B) 11 καινήν] καὶ νῦν FR οὐδέπω] om. A.

Δ

1 Κιρνᾷ μὲν οὖν ἡ κόρη συνήθως· ἐγὼ δ' ἀσυνήθως
πίνω καὶ πίνων οὐ πίνω καὶ μὴ πίνων πίνω τὸν ἔρωτα.
Πίνει μὲν οὖν Σωσθένης καὶ τρίτος ἐγώ, ὅτι μου καὶ ἡ
Πανθία προέπιε, καὶ πίνων τὸν πόδα θλίβω τῆς κόρης,
πόδα κατεπιθεὶς τὸν ἐμόν· ἡ δὲ σιγῶσα τῇ γλώσσῃ τῷ
σχήματι λαλεῖ καὶ λαλοῦσα σιγᾷ· δάκνει τὸ χεῖλος καὶ
2 τὴν ἀλγοῦσαν καθυποκρίνεται· συνέχει τὴν ὀφρύν, στυγνάζει
τὸ πρόσωπον καὶ οἷον ὑποστενάζει λεπτόν· ἐγὼ δ' ἀλγῶ
τὴν ψυχὴν ἐκ μόνου τοῦ σχήματος καὶ τὸν μὲν πόδα τοῦ
ποδὸς ἀφαρπάζω τῆς κόρης, τῇ χειρὶ δ' ἀντιπαρέχω τὸ
3 ἔκπωμα. Περὶ μὲν οὖν τῶν ἐν τῇ τραπέζῃ τρυφῶν Κρατι-
σθένης φιλοσοφείτω καὶ εἴ τις περὶ τὴν τράπεζαν ἕτερος·
ἐμοὶ δὲ καὶ τράπεζα καὶ τροφὴ καὶ πόσις καὶ τἆλλ' ὁπόσα
περὶ τὴν τράπεζαν Ὑσμίνη παρθένος, ἧς καὶ πάλιν κιρνώσης
θλίβω τὸν δάκτυλον· ἡ δ' "ἀλγῶ" καθυποψιθυρίζει λεπτόν· 189
καὶ ἦν τὸ ψιθύρισμα μεστὸν ἡδονῆς καὶ στάζον ἐξ ἔρωτος.
2 Καὶ μετὰ τρίτην πόσιν καὶ τετάρτην καὶ πολυτε-
λεῖς τὰς τροφὰς ἐλύετο τὸ συμπόσιον· καὶ ὁ Σωσθένης

1 μὲν] με K[1] οὖν] om. GJR 3 οὖν] οὖν ὁ J 4 προέπιε] προὔπιε Hercherus 5 τῷ] τὰ χείλη τῶ V 6 λαλοῦσα] καλοῦσα P χεῖλος] χεῖλος ἐρωτικῶς ε (praeter B) 7 συνέχει] συνέχω V 9 sq. τοῦ ποδὸς — κόρης] εὐθὺς τῆς κόρης ἀφαρπάζω ποδός B, εὐθὺς ἀφαρπάζω ποδὸς τῆς κόρης F[2], τοῦ ποδὸς εὐθὺς ἀφαρπάζω τῆς κόρης Le Basius 11 οὖν] om. J 13 καὶ τράπεζα] om. B τροφὴ] τρυφὴ J 14 τράπεζαν] τράπεζα καὶ τροφὴ καὶ πόσις F[1] 15 ἀλγῶ] ἀλγῶσα ζ, ἀλγοῦσα Gη (praeter B) 16 ἐξ ἔρωτος] ἔρωτος ζ, ἔρωτα θ 17 καὶ μετὰ] μετὰ δὲ η (praeter B), μετὰ δὴ Hercherus τρίτην πόσιν καὶ τετάρτην BJVR, τρίτον πότον καὶ τέταρτον rell. 18 τὰς] om. JV τροφὰς] τρυφὰς Jι.

φησὶν "Ὑσμινία κῆρυξ, τρεῖς ταύτας ἡμέρας ἄγεις σήμε-
ρον εἰς τὴν ἡμετέραν ἐξ Εὐρυκώμιδος, ἃς ὁ παρ' ἡμῖν
νόμος εἰς φιλοφροσύνην καὶ σέβας ἀφοσιοῦται κήρυκος καὶ
2 κηρύγματος· συνήθως οὖν καὶ πάλιν σὺν τῷ καλῷ τούτῳ
παιδὶ" (τὸν Κρατισθένην δεικνὺς) "ἀνακλίθητι· τῇ δ'
ὑστεραίᾳ τὴν ἐπ' Εὐρυκώμιδος βαδιοῦμεν θύσοντες Σωτῆρι
3 Διί." Ταῦτ' εἶπε καὶ ἡμῶν ἀπηλλάγη τὸ σύνηθες "χαί-
ροις" εἰπών· ἐγὼ δ' ἐδόκουν νὴ τοὺς θεοὺς εἰς Ἄδου
κατακεκλῆσθαι, καὶ ἤδη κρυεροῦ κατὰ τὴν ποίησιν ἐγευόμην
Ἀΐδαο καὶ πρὸς τὸν Κρατισθένην εἶπον "τί μοί φησι
Σωσθένης; Ὑσμίνη περὶ ταυτηνὶ τὴν Αὐλίκωμιν, ἐγὼ δ'
εἰς Εὐρύκωμιν; οὐ μὰ τὸν ἐν τῷ κήπῳ θεόν· σὺν Ὑσμίνῃ
θανοῦμαι, σὺν Ὑσμίνῃ καὶ ζήσομαι."

3 Καὶ τὴν Ὑσμίνην περὶ τὸν κῆπον εἶδον ὅλην σεσο-
βημένην ἐξ ἔρωτος. Εὐθὺς οὖν ὅλον τὸν κῆπον τοῖς
ὀφθαλμοῖς μου συναγαγὼν ἢ μᾶλλον ὅλους περὶ τὸν κῆπον
κατασκορπίσας αὐτοὺς καὶ ὅλον κατασκοπήσας αὐτὸν καὶ
μόνην τὴν Ὑσμίνην ἰδών, ἐγγύς που ταύτης γενόμενος
2 καὶ "χαίροις" εἰπὼν ἐφειλκυσάμην τοῦ χιτωνίου· ἡ δ' ἐσίγα
τὰ πρῶτα καὶ μόνον ἀντέτεινεν· ὡς δὲ καὶ χειρὸς ἡπτόμην,

1 φησὶν] om. J 1 sq. ἡμέρας ἄγεις σήμερον] ἄγεις σήμερον ἡμέρας B 3 καὶ σέβας] om. B κήρυκος] καὶ κήρυκος B, κῆρυξ V 4 καὶ πάλιν] πάλιν Jζ, om. ϑ 5 δεικνὺς] ὑποδεικνὺς J ἀνακλίθητι] ἀνακλιθέντες J 6 εὐρυκώμιδος V, αὐλικώμιδος B, εὐρυκώμιδα rell. θύσοντες] θύσαντες V Σωτῆρι] τῷ πατρὶ Gaulm. 7 sq. χαίροις] χαίροις μ' ζ, χαίρεις μ' η (praeter B) 9 κατακεκλῆσθαι] με κατακλῆσθαι R, μετακεκλῆσθαι BGKV ἤδη] ἴδε G[1]Jζ, ἴδη G[2], ὕδατος ι (om. O') ἐγευόμην] ἐγενόμην ζ 10 τὸν] om. J εἶπον] εἰπὼν R 11 ταυτηνὶ] ταύτην B 12 τῷ] om. B σὺν] ἐπὶ V 14 sq. σεσοβημένην] σοβουμένην G, σεβομένην V 15 οὖν] om. BG, δὲ ε (δ' P) 15 τοῖς — 16 κῆπον] om. BGJR 16 ἢ μᾶλλον] καὶ μᾶλλον V, ἢ APT, καὶ Fλ ὅλους] ὅλοις F 17 κατασκορπίσας αὐτοὺς καὶ ὅλον ζϑ, ὅλους V, om. rell. 1. καὶ — αὐτὸν] om. Gaulm. αὐτὸν] αὐτὸ B, αὐτὸς GJR, αὐτοὺς V 18 μόνην] om. η (praeter B) που] μου V 20 τὰ πρῶτα καὶ μόνον] καὶ μόνον τὰ πρῶτα Jϑ ἀντέτεινεν] ἀνέτεινεν G.

"αἰδέσθητι" φησὶ "τὸ κηρύκειον·" ὡς δὲ καὶ φιλεῖν ἤθελον,
"εἶτ' οὐκ αἰδῇ τὸν ἐκ δάφνης στέφανον" εἶπε "καὶ τὸ
ἱερὸν πέδιλον;" ὡς δ' οὐ κατεδυσωπούμην, ἀλλ' ὅλος
ἤμην περὶ τὸ φίλημα, "τί δέ σοι κέρδος" εἶπεν "ἐκ τοῦ
3 φιλήματος;" Ἐγὼ δὲ πρὸς τὴν κόρην μεθ' ἡδονῆς

"ἔστιν κἀν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις." 190

Ἡ δ' ὑποσεσηρυῖα μικρὸν "χθὲς τὸν παρθένον ἐπλάττου"
φησίν, "ὑπεκρίνου τὸν σώφρονα, καὶ νῦν καταρρητορεύεις
4 τὸν ἔρωτα." Ἐγὼ δ' οὐδὲν εἰπὼν τὴν χεῖρα φιλῶ καὶ
φιλῶν στένω καὶ στένων ἐδάκρυσα. Ἡ δέ μοι φησὶν "ὅ, τι
τυγχάνων θρηνεῖς;" ἐγὼ δ' ὅτι γλώσσῃ μόνῃ τοῦ
μέλιτος γεύομαι· σὸς γάρ με Σωσθένης πατὴρ εἰς Εὐρυ-
κώμιδα συνεφέλκεται. Ἡ δ' "ἀλλὰ κἀμὲ" φησί. Καὶ τὴν
χεῖρ' ἀφαρπάξασα μακρὰν ἀπεπήδησεν.

4 Ἐγὼ δ' ὡς ἐν ὑποπτέρῳ ποδὶ περὶ τὴν κλίνην γε-
νόμενος ὑπεκρινόμην ὑπνοῦν· ψόφος γὰρ ὡς ἐκ ποδὸς ἡμᾶς
συνετάραξεν. Ἧκεν οὖν ὁ Κρατισθένης τῆς συνηρεφοῦς
ἀναστὰς μυρρίνης εἰς ἣν ὑπεκάθητο, καὶ τὸν πόδα μου
θλίβων φησὶν "ἕως πότε τὸν βαθὺν τοῦτον ὕπνον ὑπνοῖς;
Ὑσμίνη περὶ τὸν κῆπον, σὺ δ' οὕτως ἀνακεκλιμένος ὑπνοῖς;"
2 καὶ λέγων ἐγέλασεν. Ἐγὼ δὲ "τί γελᾷς;" εἶπον· ὁ δ'

1 ἤθελον] ἤθελον αἰδέσθητι μᾶλλον η (praeter κ) 2 αἰδῇ] αἰδεῖ RV[1] 3 οὐ κατεδυσωπούμην] ἐκατεδυσωπούμην V, οὐκ ἐδυσωπούμην J ὅλος] ὅλως GJ 4 εἶπεν — 5 φιλήματος] ἐκ τοῦ φιλήματος εἶπεν B 5 ἐγὼ δὲ] κἀγὼ R 6 κενεοῖσι] κενοῖσι P, καὶ νεοῖσι NO, καινοῖσι Xϑ φιλάμασιν KN, φιλήμασιν rell. 7 τὸν] τὴν V 9 εἰπὼν] εἶπον R 10 ὅ, τι] ὅπερ ι, τί Le Basius 11 τυγχάνων GR, τυγχάνεις rell. θρηνεῖς] θρηνῶν AFJ 12 σὸς] ὁ σὸς ι με] μοι B 12 sq. Εὐρυκώμιδα] Εὐρύκωμιν Hercherus 13 φησί] om. κ 14 ἀφαρπάξασα] ἀφαρπάσασα BG[2]KV, ἀφαρπάσας G[1] μακρὰν] μικρὸν ι 15 ὡς ἐν] om. KV ὑποπτέρῳ] ὑπόπτρω G, ὑποτέρω P, ὠκυπτέρω J ποδὶ] om. G 16 ὑπνοῦν] τὸν ὑπνοῦντα N ὡς ἐκ ποδὸς ἡμᾶς] ἐκ ποδὸς ἡμᾶς G, ἡμᾶς ὡς ἐκ ποδὸς ε (praeter B) 18 ὑπεκάθητο GJRζ, ἐπεκάθητο rell. 19 βαθὺν] βαρὺν GV 20 Ὑσμίνη — ὑπνοῖς] om. BJR.

"ὅτι σε ψόφος ἐκ θεραπαινίδος ποδὸς χειρὸς ἐρωμένης δε-
σποίνης ἐστέρησε καὶ θήρας· οὕτω καλῆς ἀνεμώλιον φόβη-
τρον." Ἐγὼ δὲ κατεφίλησα τὸν Κρατισθένην εἰπὼν "σύγ-
χαιρέ μοι, Κρατίσθενες· σὺν ἡμῖν ἡ παρθένος εἰς Εὐρυκώ-
3 μιδα." Καὶ δὴ περὶ τὸν κῆπον γενόμενος τὴν Ὑσμίνην
ἐζήτουν καὶ πάλιν ἰδεῖν· ὡς δ' οὐκ εἶχον ὁρᾶν (ᾤχετο
γάρ), ἐνεκαρτέρουν τῷ κήπῳ, τὴν παρθένον ἐνοπτριζόμενος·
ὁ δέ γε Κρατισθένης μετάγει μου τοὺς ὀφθαλμοὺς ἐπὶ
τὰς ἐν τῷ κήπῳ γραφάς, καὶ μετὰ τὸν ἐμὸν Ἔρωτα τὸν
ἐφ' ὑψηλοῦ τοῦ δίφρου καθήμενον ἄνδρας ὁρῶμεν ἀλλο-
φύλους, ἀλλογλώσσους, ἀλλογενεῖς ἀλλήλοις, ὅλους ἄλλους
ἐξ ἄλλων καὶ τὸ σχῆμα καὶ τὸ πολίτευμα.

5 Ὁ μὲν γὰρ στρατιώτης ἦν· στρατιώτης τὸ σχῆμα,
στρατιώτης τὸ βλέμμα, στρατιώτης τὸ μέγεθος· ὅλος
στρατιωτικῶς κατεπέφρακτο· τὴν κεφαλήν, τὼ χεῖρε, τὸ 191
μετάφρενον, τὸ μέτωπον, τὸ στέρνον, τὴν ὀσφὺν καὶ
2 μέχρι ποδῶν· οὕτως ὁ τεχνίτης τὸν σίδηρον εἰς πέπλον
ἐξύφανεν ἢ μᾶλλον ταῖς βαφαῖς τὸν σίδηρον ἐμιμήσατο·
οὕτω καὶ μέχρις ὀνύχων αὐτῶν τὸν στρατιώτην κατέφραξε.

1 ἐκ V, om. rell. ποδὸς] γυναικὸς G, om. R 2 καὶ] om. P 3 κατεφίλησα τὸν] φιλησαστὸν (sic) R 4 εἰς] πρὸς G 4 sq. Εὐρυκώμιδα] Εὐρύκωμιν Hercherus 6 ἐζήτουν καὶ πάλιν] ἐξεζήτουν καὶ πάλιν P[1], καὶ πάλιν ἐζήτουν Rι, ἐζήτουν ϑ 7 ἐνεκαρτέρουν] ἐκαρτέρουν V παρθένον] ἰσμήνην B 8 ἐπὶ] περὶ B 10 ὁρῶμεν] om. Le Basius 11 ἀλλογενεῖς ἀλλήλοις R, ἀλλήλοις ἀλλογενεῖς GJKN[2]Vκ, ἀλλογενεῖς ε ὅλους] om. JVRκ ἄλλους] ἄλλον J, om. A 12 ἄλλων] ἄλλων ἀλλήλοις μ καὶ τὸ σχῆμα] om. Le Basius 13 γὰρ] om. Gaulm. 14 ὅλος] ὅλως F[1]OP, om. J 15 τὴν κεφαλήν, τὼ χεῖρε] τὼ χεῖρε, τὼ πόδε, τὴν κεφαλήν B τὸ κ, καὶ τὸ rell. 16 καὶ] om. ϑ 17 ποδῶν] ποδῶν ἐκ κεφαλῆς καὶ μέχρις ὀνύχων R εἰς πέπλον] om. JRκ πέπλον] πέταλι ε, πέταλον G, πέταλα Le Basius 18 ἐξύφανεν] ἐξυφάνατο ζ, ἐξυφήνατο η (praeter κ), ἐξύφανε τεχνικῶς G βαφαῖς] γραφαῖς κ 19 τὸν στρατιώτην] τὸ στρατιωτικὸν ι κατέφραξε] ἐπέφραξε T, κατεπέφραξε η (praeter B), κατέφραζε Gaulm. (D).

3 Φαρέτρα περὶ τὴν ὀσφὺν καὶ σπάθη ἀμφίκοπος· δολιχὸν
ἔγχος περὶ τὴν δεξιάν· ἀσπὶς ἐξήρτητο τῆς λαιᾶς· τοῖν
δέ γε ποδοῖν οὕτως εὐφυῶς εἶχε καὶ τεχνικῶς, ὡς εἴποις
ἰδὼν κινεῖσθαι τὸν ἄνθρωπον.

6 Ὁ μετ' αὐτὸν ὅλος ἦν ἀγροικικῶς ἐσταλμένος καὶ
ὅλος ποιμήν. Ἀπερικάλυπτον εἶχε τὴν κεφαλήν, ἀκόσμητον
τὴν τρίχα καὶ τῆς κεφαλῆς καὶ τοῦ πώγωνος· τὼ χεῖρε
μέχρις ἀγκῶνος γυμνώ. Μέχρι γονάτων ὁ ζωγράφος τὸν
χιτῶνα κατέχυσε· τὰ δ' ἐφεξῆς ἀφῆκεν ἀπερικάλυπτα.
2 Λάσιον τὸ στέρνον τἀνδρὶ καὶ ὅσα τῶν μελῶν οὐκ ἐπε-
καλύφθησαν ὡς ἐν χιτῶνι τοῖς χρώμασι· τὸ σκέλος παχὺ
καὶ ὄντως κατ' ἄνδρας ἁδρόν. Διδυμοτόκος αἶξ πρὸ τῶν
3 ποδῶν τοῦ ποιμένος ὠδίνουσα γέγραπται· ὁ δὲ γίγας
οὗτος ποιμὴν μαιεύει τὴν αἶγα, καὶ τὸ μὲν πρωτότοκον
ἔχει, τὸ δ' ὑποδέχεται· καὶ τὴν σύριγγα ποιμενικῶς
ἁρμοσάμενος ἐπιτόκιον οἷον ᾄδει καὶ οἷον καταδυσωπεῖ
τὸν Πᾶνα τὰς αἶγας πυκνῶς εὐτοκεῖν.

7 Εἶτα λειμὼν κατάκομος ἄνθεσι, καί τις ἀνὴρ κατὰ
μέλιτταν ἐπὶ τοῖς ἄνθεσιν ἐμετάλλευεν. Οὐ κατὰ φυτη-
κόμον ἐγέγραπτο, κατ' ἄνδρα δὲ μᾶλλον πολυτελῆ καὶ
πολύολβον καὶ ὅλον βλάκα καὶ ὅλον χαρίεντα· ἡ γάρ τοι
περὶ τὸ πρόσωπον χάρις αὐτοῦ πρὸς τὸ τοῦ λειμῶνος

1 ἀμφίκοπος] ἀμφίκωπος ε (praeter B) 3 δέ γε] δὲ G, γε JKRζ εὐφυῶς] ὡς εὐφυῶς K, εὐφυῶς ὡς R, ἐκφυῶς P ὡς] om. J 5 ἀγροικικῶς] ἀγρικῶς R, ἀγροικῶς F[2], ἀγροικὸς B, ἀγροικιστῶς F[1] 6 ἀπερικάλυπτον] περὶ καλυπτομένην R ἀκόσμητον] ἀκοίμητον F 7 1. καὶ] om. BKR 8 ἀγκῶνος] ἐπαγκῶνα (sic) K, ἐς ἀγκῶνος R, ἐπ' ἀγκῶνος Le Basius 9 κατέχυσε] κατέλυσε GJRι 10 τἀνδρὶ] ἀνδρὶ Teucherus μελῶν] μερῶν V 10 sq. ἐπεκαλύφθησαν] ἀπεκαλύφθησαν ϑ (F corr.), ἐπεβλήθησαν J 11 ὡς ἐν χιτῶνι τοῖς χρώμασι] nunc glossatori tribuit Hercherus 12 ὄντως] ὅλως ϑ, οὕτως P[1] ἁδρόν] ἀνδρῶν VRζϑ (om. F) 14 οὗτος] αὐτὸς P 16 οἷον] om. ι 17 πυκνῶς] πυκνὰς R, συχνῶς κ 19 ἐμετάλλευεν] ἐμετάλλευκεν V 19 sq. φυτηκόμον] φυτοκόμον BV 21 ἡ] καὶ V τοι] τι η (praeter B) 22 τὸ πρόσωπον] τοῦ σώματος κ λειμῶνος] χειμῶνος G[1].

2 κάλλος ἀντήριζεν. Ἡ θρὶξ περὶ τοὺς ὤμους ἐξήπλωτο,
φιλοτίμως καταβοστρυχουμένη καὶ λίαν ἐπιμελῶς. Ἄνθεσι
τὴν κεφαλὴν ἐστεφάνωτο, καὶ ῥόδα κατεπεχεῖτο τῷ βο- 192
στρυχώματι. Ποδήρης ὁ χιτὼν τουτῳὶ καὶ οἷον κατά-
χρυσος καὶ ὡς ἐξ ἀνθέων κατάστικτος καὶ ὅλος ἠνέμωτο.
3 Πλήρεις εἶχε τὰς χεῖρας καὶ ῥόδων καὶ τῶν ἄλλων φυτῶν,
ὅσα καθηδύνει τὴν ὄσφρησιν. Ἐσανδαλοῦτο τοὺς πόδας·
οὐδὲ γὰρ οὐδὲ τοῦτο τὸ μέρος εἶχεν ἀπερικόσμητον· καὶ
ἦν ὁ λειμὼν τοῖς ἐν ποσὶ σανδάλοις ὡς ἐν κατόπτροις
παραδεικνύμενος· οὕτως ὁ ζωγράφος καὶ μέχρι ποδῶν καὶ
πεδίλου τὸν ἄνδρα κατεχαρίτωσε.

8 Πεδίον χλοηφόρον μετὰ τὸν κῆπον ὁ τεχνίτης ἐξή-
πλωσεν, ἄνδρα δ᾽ ἐν μέσῳ κατεζωγράφησε τὰ πάντα κατ᾽
ἀγρότην ἐσκευασμένον, ἐστεφανωμένον τὴν κεφαλὴν οὐκ
ἐκ ῥόδων, οὐκ ἐξ ἀνθέων, ἀλλ᾽ ἐκ λίνου λεπτοῦ, ὃν
χεὶρ ὑφαίνει καὶ τέχνη πλέκει καὶ τόξον ἀγρότης ἔχει.
2 Τὸν βόστρυχον οὐδὲ μέχρις ὤμων ὁ τεχνίτης ἐξήπλωσεν,
οὐδ᾽ αὐτὸν ὅλον περικαλύπτειν ἀφῆκε τὸν τράχηλον. Τὸ

2 φιλοτίμως καταβοστρυχουμένη] φ. καταβοστρυχούμενος R, καταβοστρυχουμένη φιλοτίμως B 4 τουτῳὶ] τούτῳ Teucherus 5 ὅλος] ὅλως ζ, οἷον G 6 καὶ ῥόδων] ἀνθέων καὶ ῥόδων ε (praeter B), ῥόδων καὶ ἀνθέων Osannus 7 τοὺς πόδας] τὼ πόδε η (praeter B) 8 οὐδὲ γὰρ] om. V 2. οὐδὲ] om. O 9 τοῖς] om. G ποσὶ σανδάλοις] ποσὶν εὐσανδάλοις G 10 παραδεικνύμενος] περιδεικνύμενος V 1. καὶ] om. R 10 sq. καὶ πεδίλου] om. G 12 μετὰ τὸν κῆπον ὁ τεχνίτης] ὁ τεχνίτης μετὰ τὸν κῆπον JR 13 τὰ] καὶ ε (praeter κ) 14 sq. οὐκ ἐκ ῥόδων, οὐκ ἐξ ἀνθέων] οὐκ ἐξ ἀνθέων, οὐκ ἐκ ῥόδων η (praeter κ) 15 sq. ὃν χεὶρ ὑφαίνει καὶ] om. B 16 καὶ τόξον ἀγρότης ἔχει] καὶ τόξον δὲ ὁ ἀγρότης ἔχει η (praeter B), καὶ τόξον δὲ ἀγρότης ἔχει Osannus, καὶ τοιόνδε ὁ ἀγρότης ἔχει Le Basius, delevit Hercherus; in τόξον latere videtur ταινίαν, κόσμον aut simile quiddam ἔχει] ἔχει τὸν δάκτυλον ι 17 τὸν βόστρυχον] τὸν δὲ βόστρυχον η (om. B) ἐξήπλωσεν] ἐφήπλωσεν β 18 αὐτὸν] αὖ τὸν V ὅλον] om. G.

χιτώνιον ἀκαλλῶς κατ᾽ ἀγρότην ἐσκεύασε καὶ ὅλον ἀγροι-
3 κικόν. Τὼ πόδε κατ᾽ ἄμφω μέχρι γονάτων ἐγύμνωσε καὶ ἄμφω τὼ χεῖρε πρὸς ἓν ἀφώρισε δρέπανον, ὅ, τι καὶ τὸ σχῆμα καὶ τὸ μῆκος ὑπὲρ τὸ δρέπανον. Χόρτον τίλλειν ὁ γεγραμμένος ἀγρότης ἔργον εἶχεν ἐπιμελέστατον· τοὺς ὀφθαλμοὺς ἐπεπήγει τῷ χόρτῳ, καὶ ὅλος ἦν πρὸς τῷ λειτουργήματι.

9 Γηπόνος ὁ μετ᾽ αὐτὸν περὶ μέσους κεκυφὼς τοὺς ἀστάχυας δρέπανον ἔχει τῇ δεξιᾷ, τῇ δέ γε λαιᾷ συλλέγει τὰ δράγματα· ἀπέχει τοὺς καρποὺς τῶν πόνων, θερίζει τὰς ἀμοιβὰς τῶν καμάτων καὶ τῶν σπερμάτων
2 τρυγᾷ τὰ γεώργια. Ἐπικάλυμμα φέρει τῇ κεφαλῇ πίλον ἀσκητὸν καθ᾽ Ἡσίοδον· οὐ γὰρ γυμνῇ ταύτῃ δοκεῖ τὴν θέρμην ἀνέχεσθαι. Τὸν πάντα χιτῶνα περὶ τὴν ὀσφὺν 193
διεζώσατο καὶ τὸ πᾶν τοῦ σώματος πλὴν τῆς αἰδοῦς ἐξεγύμνωσεν.

10 Ὁ μετ᾽ αὐτὸν ἤδη λελουμένος ἐγέγραπτο. Πρὸ τῶν πυλῶν εἱστήκει τοῦ βαλανείου, ὀθόνῃ τὴν αἰδῶ περιστέλλων, τὰ δ᾽ ἄλλα φέρων ἀπερικάλυπτα. Πάνθ᾽ ὡς
2 ἐξ ἱδρῶτος κατερρεῖτο καὶ κατεβρέχετο. Εἴποις ἰδὼν ἀσθμαίνειν τὸν ἄνθρωπον καὶ οἷον ἐκλελύσθαι τῷ καύματι·

1 κατ᾽ — 1 sq. ἀγροικικόν] ἀλλ᾽ ὅλον ἀγροικὸν ὁ τεχνίτης ἐσκεύασε κατ᾽ ἀγρώτην ἁπλῶς B 1 sq. ἀγροικικόν] ἀγροικόν M^1 2 κατ᾽ ἄμφω] om. κ 3 ὅ, τι — 4 δρέπανον] om. KVR 5 ἀγρότης ἔργον] om. B εἶχεν] om. J 6 πρὸς] ἐν B 8 περὶ] παρὰ ε (praeter κ) 9 ἀστάχυας] στάχυας ε (praeter B) τῇ δεξιᾷ] τὴν δεξιὰν ζ γε] om. J^1Vε 9 sq. συλλέγει] ἀλέγει G^1 10 ἀπέχει KV, ἐπέχει rell. τοὺς καρποὺς] τὸν καρπὸν R 11 καὶ τῶν σπερμάτων] om. N 13 ἀσκητὸν] ἀσκητικὸν ζ ταύτῃ] ταύτην R δοκεῖ] δοκεῖ φέρειν K^1, δοκεῖν Gaulm. 14 θέρμην] θέρμην φέρειν G J V^2 ε (praeter κ), θέρμην φέρων V^1 ἀνέχεσθαι] ἀντέχεσθαι BN, ἀνέχεται P^1 περὶ] παρὰ ε (praeter κ) 15 τὸ] om. G^1 17 ἐγέγραπτο] ἀνὴρ κ, ἀνὴρ ἐγέγραπτο λ (X^2), ἐγέγραπτο ἀνὴρ Le Basius 18 πυλῶν] ποδῶν J 19 πάνθ᾽ ὡς] πάνθ᾽ ὅσ᾽ Jζ 20 ἐξ] ἀξ ζ κατερρεῖτο] κατέρρει P, καταρρεῖ τε Gaulm. εἴποις] εἴπερ V, εἰ πόσις P.

οὕτως ὁ τεχνίτης καὶ τὰς φύσεις αὐτὰς ἀπεμιμεῖτο τοῖς
3 χρώμασι. Τῇ δεξιᾷ τῶν χειρῶν ἔκπωμά τι κατεῖχε κω-
νοειδές, ὃ τῷ στόματι φέρων τῆς ὀπῆς ἀνερρόφει τοῦ
πόματος· τῇ δ' αὖ γε λαιᾷ τὴν ὀθόνην ἀνεῖχε περὶ τὸν
ὀμφαλόν, μή πως ἐκρυεῖσα τὸ πᾶν ἐκκαλύψῃ τοῦ σώματος.

11 Μετὰ δὴ τοῦτον τὸν ἐκ βαλανείου, τὸν λελουμένον,
τὸν καυματούμενον ἀνήρ τις ἐγέγραπτο ὅλον ἀνεζωσμένος
περὶ τὴν ὀσφὺν τὸ χιτώνιον, ὅλω τὼ πόδε γυμνός, καὶ
ὅλην οἴνου πηγὴν ἀναστομῶν πρὸ ποδῶν. Τὴν τρίχα πᾶσαν
2 εὐφυῶς συνῆκται πρὸς τὸ μετάφρενον. Ἄμπελον ἡ λαιὰ
τῶν χειρῶν ἐμιμεῖτο, καὶ βότρυν εἶχε τοῖς δακτύλοις ὡς
κλάδοις ἀπαιωρούμενον· ἡ δεξιὰ τὸν βότρυν ἐτρύγα, καὶ
τῷ στόματι κατὰ ληνὸν παρετίθετο, καὶ τοῖς ὀδοῦσιν ὡς
ποσὶν ἐναπέθλιβε· καὶ ἦν ὁ γεγραμμένος ἀνὴρ ἄμπελος
καὶ τρυγητὴς καὶ ληνὸς καὶ οἴνου πηγή.

12 Ὁ μετ' αὐτὸν νεανίσκος νῦν πρώτως ἤνθει τὸν
ἴουλον, τὴν κεφαλὴν μὴ φέρων ἀπερικάλυπτον, ἀλλ' ἔκ
τινος ἀραχνώδους λίνου περικαλύπτων καὶ τὴν κεφαλὴν
2 καὶ τὸν βόστρυχον. Λευκὸν αὐτῷ τὸ χιτώνιον, ὃ τὰς
χεῖρας συνέχει καὶ ταύταις κεκόλληται καὶ μέχρι δακτύλων

1 καὶ] om. G τὰς] περὶ V ἀπεμιμεῖτο] ἐπεμιμεῖτο Jε (praeter κ) 2 χειρῶν] ποδῶν B τι] om. G¹Jε (praeter B) 2 sq. κωνοειδές] μονοειδές ι 3 ὃ] ἐν V ὀπῆς] ὀσμῆς J ἀνερρόφει R, ἀνερρόφη KV, ἀνερρόφα rell. 4 γε] om. R ἀνεῖχε] ἀνέχει B 5 ἐκκαλύψῃ] εἰσκαλύψῃ B, ἐγκαλύψει P 6 δὴ] δὲ PVR 2. τὸν] om. V 7 ὅλον] ὅλος R 9 πρὸ] πρὸ τῶν R 10 συνῆκται] συνῆπτε P, συνῆπται Teucherus ἄμπελον] ἄμπελος M 11 ἐμιμεῖτο] ἀπεμιμεῖτο V 12 βότρυν] sequitur spatium 5 litt. R 13 κατὰ] κατὰ τὸν ι καὶ] om. G 15 τρυγητὴς] τρυγητοῦ V καὶ ληνὸς] om. λ 16 νῦν] ἦν P πρώτως K, πρῶτος BGJVR, πρῶτον F², πρότερον ε 17 φέρων] περιφέρων K 17 ἀλλ' — 18 περικαλύπτων] om. V 18 καὶ] om. BGKN 19 καὶ] ἐπὶ V αὐτῷ τὸ χιτώνιον] αὐτὸ τὸ χιτώνιον B, τὸ χιτώνιον αὐτῷ R, τὸ χιτώνιον X¹, τὸ χιτώνιον ἦν N, ἦν τὸ χιτώνιον μ (X²) 20 1. καὶ] om. B ταύταις] ταύτας R κεκόλληται] κεκώλληται η (praeter B), κεκώλυται V 2. καὶ om. G¹.

ἐκκεχυμένον αὐτῶν. Στενοῦται μὲν περὶ τὴν ὀσφύν, τὸ
3 δ' ἐφεξῆς ἀνέτως ἐκχεῖται καὶ οἷον ἠνέμωται. Μέχρι
γονάτων ὁ τεχνίτης τοὺς πόδας τῷ νεανίσκῳ κατεπεδί- 194
λωσεν. Ὁ δ' οἰκίσκους φέρει στρουθῶν, πλάττει φυτόν,
δόλον πλέκει κατὰ πτηνῶν καὶ περιεργάζεται τὸ πτερόν·
ὅλον λειμῶνα φυτεύει, στρουθοὺς τῷ λειμῶνι παραπετάννυσι,
4 λεπτῇ μηρίνθῳ τούτους ἀντικαθέλκων πυκνά. Τὸν δόλον
οὐ συνορᾷ τὸ πτηνόν, τὴν μηχανὴν οὐκ οἶδε· βλέπει τὸν
λειμῶνα τερπνόν, τοὺς ἐν μηρίνθῳ παραπετομένους στρου-
θούς, τοὺς ἐν οἰκίσκοις ἡδὺ μελιζομένους καὶ χάριεν· γίνεται
πρὸς τῷ λειμῶνι, πρὸς τοῖς στρουθοῖς, καὶ τῷ δόλῳ συνέ-
χεται· ὁ δὲ τὸν δόλον συσκευασάμενος ἰξευτὴς συνέχει
καὶ σφάττει καὶ τῆς εὐηθείας καταγελᾷ.

13 Μετὰ δὴ ταῦτα ζεῦγος βοῶν ἄροτρον φέρον ἐγέγραπτο
καί τις ἀνὴρ ἀροτρεύς, ᾧ φαῦλα μὲν ὁ τεχνίτης ὑπέρραψε
πέδιλα, φαῦλα δὲ καὶ τἆλλα τὰ περὶ τὸ σῶμα κατεζω-
γράφησε, φαῦλον χιτῶνα καὶ ὅλον διερρωγότα (καὶ τοῦτο
γὰρ ἐτεχνουργήθη τοῖς χρώμασι), φαῦλον τὸ τῆς κεφαλῆς
2 περικάλυμμα, ἐξ ἐρίου τάχα συμπιληθέν. Μέλαν οὐ κατ'

1 ἐκκεχυμένον] ἐκκεχυμένου JR, ἐκκεχυμένων NT, ἐγκεχυμένον KO, ἐγκεχυμένοι M, ἐγκεχυμένων Gaulm. αὐτῶν] αὐτοῦ J, αὐτόν X 2 ἀνέτως — 3 πόδας] om. Gaulm. 2 οἷον ἠνέμωται] om. V μέχρι] μέχρι δὲ T 3 ὁ τεχνίτης τοὺς πόδας] τοὺς πόδας ὁ τεχνίτης BJKV τῷ νεανίσκῳ] τὸν νεανίσκον J, τῶ νεανίσκω τοὺς πόδας G 4 ὁ] ἡ O φέρει] φέρων Jε (praeter κ) 5 πλέκει] πλέκεσθαι M πτερόν] πτηνόν ϑ 7 τούτους] τούτοις JOζ ἀντικαθέλκων] ἀνθέλκων B πυκνά] om. ϑ 8 οὐ] om. O τὴν] καὶ λ οἶδε] οἶδε καὶ λ 8 sq. τὸν λειμῶνα τερπνόν] τὸν λειμῶνα? τὰ περὶ τὸν λειμῶνα τερπνά? Hercherus 9 λειμῶνα] χειμῶνα Tζ παραπετομένους] περιπετομένους V, παραπεταμένους N, παραπετωμένους Bζ, παραπτωμένους O 10 γίνεται] γίνεται γὰρ Teucherus 11 τῷ λειμῶνι] τὸν λειμῶνα κ τοῖς στρουθοῖς] τοὺς στρουθοὺς ε 11 sq. καὶ — συνέχεται] om. N 12 τὸν δόλον] τῶ δόλω R συσκενασάμενος] σκευασάμενος G 13 σφάττει] φράττει Teucherus 14 δὴ] δὲ GPV ἄροτρον] ἄροτον P 15 ὑπέρραψε] ὑπέγραψε R 17 φαῦλον] φαῦλον (φαῦλα P) τὸν AFNOζ 18 sq. τῆς κεφαλῆς περικάλυμμα] περικάλυμμα τῆς κεφαλῆς T.

Αἰθίοπα κατεχρώσθη τὸ πρόσωπον, ἀλλ' οἷον ἥλιος μετα-
χρώννυσι. Θρὶξ ὀλίγη πρὸς τὸ μετάφρενον· τὴν γὰρ πᾶσαν
τὸ τῆς κεφαλῆς ἐπεκάλυπτε κάλυμμα· πώγων καθειμέ-
3 νος καὶ ὅλος βαθύς. Ἡ δεξιὰ τῶν χειρῶν ὅλη κατέχει
καὶ πρὸς γῆν ἐμβάλλει τὸ ἄροτρον, ἡ δέ γε λαιὰ βου-
πλῆγα φέρει, γηπόνων ἀνδρῶν γραφεῖον, ὃ βάπτεται μὲν
βοῶν αἵματι, καλλιγραφεῖ δὲ τὴν γῆν.

14 Ὁ μετ' αὐτὸν κατ' αὐτὸν τὸ σχῆμα, τὸν χιτῶνα,
τὸ πέδιλον καὶ τὸ τῆς κεφαλῆς περικάλυμμα καὶ ὅσα
περὶ τὸ σῶμα· τὸ γάρ τοι σῶμα διήλλακται· τὸ χρῶμα
τοῦ προσώπου μέλαν μέν, ἀλλ' οὐχὶ κατ' ἐκεῖνον, ὥσπερ
οὐδὲ κατὰ τὸν ἐν τῷ κήπῳ γεγραμμένον λευκόν· ἀλλ'
ὅσον ἐκείνου μελάντερον, τοσοῦτον τούτου λευκότερον.
2 Ἡ θρὶξ ἀτάκτως πλὴν μέχρις ὤμων ἐξήπλωτο· ὁ πώγων 195
μὴ κατ' ἐκεῖνον ἐκκεχυμένος, ἀλλὰ συνῆκται καὶ οἷον συνέ-
3 σταλται. Τῆς μὲν τῶν χειρῶν λαιᾶς ἐξῆπται κανοῦν· ἡ
δ' αὖ ἑτέρα τὸν ἐν τούτῳ σῖτον ἐξῆγε καὶ περὶ τὴν γῆν
κατεσκόρπιζεν· εἰ δὲ κεκρυμμένα πτηνὰ τοῖς περὶ τὴν
γῆν ἐκάθηντο χάσμασι καὶ εἰ τούτοις ἐσκόρπιζεν, ὁ
τεχνίτης οὐκ ἀφῆκεν ὁρᾶν.

1 ἥλιος] ὁ ἥλιος ε (praeter B) 2 θρὶξ] ἡ θρὶξ ι ὀλίγη] ὅλη ι (X^{2}, om. F^{2}) πρὸς] περὶ B 3 τὸ] ὁ P ἐπεκάλυπτε] ἐπεκάλυψε J, ὑπεκάλυπτε R, ἀπεκάλυπτε η (praeter κ) 3 sq. καθειμένος] καθήμενος BV, καθημένως R 5 γῆν] τὴν γῆν R ἐμβάλλει] βάλλει ε (praeter B) ἡ] τῇ ε (praeter κ) γε] om. R λαιὰ] λαιᾷ ε (praeter κ) 7 βοῶν αἵματι] βοῶν αἵμασι $C^{2}KV^{2}$θ, αἵμασι βοῶν ζ (C^{1}) καλλιγραφεῖ δὲ] καὶ καλλιγραφεῖ R τὴν γῆν V, τῇ γῇ rell. 8 2. αὐτὸν] αὐτὸ κ 10 τοι] τι Οθ χρῶμα] μελαν ε (praeter κ) 12 τῷ] om. JR 13 τοσοῦτον] τοσοῦτο Gζ, τοσούτῳ η (praeter B), τοσῶτον J 14 πλὴν] om. GJκ ὤμων] ὤμω Gaulm. 15 συνῆκται] συνῆπται Teucherus 16 μὲν] μέντοι B, μὲν οὖν N τῶν χειρῶν] om. κ λαιᾶς] τῆς λαιᾶς GKVR ἐξῆπται] ἐξῆπτε ζ, ἐξῆκται Osannus κανοῦν] κενοῦν V 17 αὖ] om. V 18 κατεσκόρπιζεν] κατεσκόρπισεν θμ εἰ] οἱ JVε (praeter κ) κεκρυμμένα Le Basius, ἐγκεκρυμμένοι ι, κεκρυμμένοι rell. πτηνὰ Hercherus, πετηνὰ Le Basius, πένητες α 19 εἰ Rθλ, om. rell. 19 sq. ὁ τεχνίτης] καὶ ὁ τεχνίτης V, ὁ τεχνίτης καὶ J.

15 Μετὰ δὴ τούτους νεανίσκος ἐγέγραπτο σφριγῶν τὸ
σῶμα καὶ τὸ βλέμμα θρασύς, ὅλος περὶ θήρας ἐπτοημένος
καὶ κυνηγέσια, ἠμαγμένος τὰς χεῖρας καὶ οἷον θωΰσσων κυσί·
χεὶρ γὰρ ζωγράφου καὶ τέχνη κἂν τἆλλα σοφή, φωνῆς
ἡττᾶται καὶ ταύτην οὐκ οἶδε μιμεῖσθαι τοῖς χρώμασι.
2 Τὸν πάντα βόστρυχον εἰς ἓν συνῆγε καὶ συνεδέδετο· ὅλον
τὸ χιτώνιον εὐφυῶς συγκεκόλληται τῇ σαρκὶ καὶ οἷον
ταύτῃ συνέρραπται, ὃ μέχρι γονάτων ὁ τεχνίτης ἐξέχυσε.
3 Τὰ δ' ἐφεξῆς μέχρι δακτύλων αὐτῶν διερρωγώς τις πέπλος
συνέσφιγγε, καὶ μήρινθος κατὰ κιττὸν συνεπλέκετο. Λαγωὸς
τῆς λαιᾶς ἀπῃώρητο τῶν χειρῶν· τῇ γάρ τοι δεξιᾷ τοὺς
κύνας ὑπέσαινεν· οἱ δ' ὅλοι πρὸ ποδῶν ἐκυλινδοῦντο τοῦ
νεανίσκου καὶ οἷον συνέπαιζον.

16 Τέλος κρατῆρες πυρὸς ἐγεγράφατο καὶ φλὸξ ὡς ἀπὸ
γῆς μέχρις αὐτῶν οὐρανῶν, ὡς μηδ' ἔχειν μαθεῖν εἴτ'
ἐξ αἰθέρος εἰς γῆν ἐκχεῖται τὸ πῦρ εἴτ' ἀπὸ γῆς ἐξῆπται
2 πρὸς οὐρανόν. Καί τις ἀνὴρ ἑκατονταπέμπελος παρακά-
θηται τῇ φλογί, ὅλος ῥυτίς, ὅλος πολιὰ καὶ τὴν κεφαλὴν
καὶ τὸν πώγωνα, διφθέραν ἐνδεδυμένος ἐκ κεφαλῆς εἰς
ὀσφύν, τὰ δ' ἄλλα γυμνός, τὼ χεῖρε, τὼ πόδε καὶ τὸ

1 νεανίσκος] νεανίσκους Κζ 3 καὶ οἷον] om. J 4 γὰρ] τοῦ J καὶ τέχνη κἂν τἆλλα V, κἂν τἆλλα τέχνη θλ, κἂν τέχνη τἆλλα P[1], καὶ τἆλλα G, καὶ τέχνη τἆλλα rell. φωνῆς] φωνῇ δὲ V 5 καὶ] καὶ μόνην η (praeter B) ταύτην] ταῦτα R 6 εἰς VR, πρὸς rell. ὅλον] καὶ ὅλον η (praeter B), om. Le Basius 7 συγκεκόλληται] συνεδέδηται (sic) G 8 συνέρραπται] τις συνέρραπται J, ξυνέσταλται θ ἐξέχυσε] ἐξίσχυσε BNO, ἐξήσκησε X[2] 9 τὰ] τὸ J μέχρι] μέχρι φυτὸν P[1] διερρωγώς GKNOV, διερρωγός rell. τις πέπλος] πέπλος J, τι πέπλον P[2]T 10 συνέσφιγγε] συνέσφιξε KV[1], συνέσφιγξε V[2], ξυνέσφιγξε ζ κιττὸν] κισσῶν R, φυτὸν θ 11 λαιᾶς] δεξιᾶς B ἀπῃώρητο] ἐπῃώρητο Le Basius τοι] om. Fλ 12 ὑπέσαινεν] ἀπέσαινεν R 14 τέλος] μετὰ δὲ ταῦτα η (praeter B) ἐγεγράφατο] ἐγεγράφοντο B, ἐγεγράφοτο M ὡς] om. G 15 γῆς] πηγῆς KR αὐτῶν οὐρανῶν JR, αὐτὸν οὐρανόν BG, ἐς αὐτὸν οὐρανόν Vδ ἔχειν] ἔχεις ι (N[2]) 16 ἐξ] ἀπ' η (praeter B, ἀπὸ P[2]) εἰς γῆν ἐκχεῖται] ἐκχεῖται εἰς γῆν J γῆν] om. B ἐκχεῖται] ἐκχύται R, ἐκκέχυται ? 17 ἑκατονταπέμπελος] ἑκατοντάπελος Gaulm. (ἑκατοντα-πέπλος D) 18 πολιὰ] πολιὸς R 19 διφθέραν] διφθέρα ζ, διὰ φθέραν V.

3 πολὺ τῆς γαστρός. Ἐκτεταμένας εἶχε τὰς χεῖρας καὶ
οἷον μεθεῖλκε τὴν φλόγα καὶ μετερρίπιζε καὶ ὅλην μετῆγε
πρὸς ἑαυτόν.

17 Ταῦθ' ὁρῶμεν καὶ τοῖς παραδόξοις ἐξεπληττόμεθα 196
καὶ τί βούλεται τὰ γεγραμμένα καὶ σφόδρα μαθεῖν ἐβουλό-
μεθα, καὶ μᾶλλον ὁ Κρατισθένης· ἐμὲ γὰρ ὁ τῆς Ὑσμίνης
ἔρως ὅλον μεθεῖλκε πρὸς ἑαυτόν· τὰ δ' ἄλλα πάντα καὶ
τὰ περὶ τὸν κῆπον τερπνὰ τερπνά μοι πρὶν Ὑσμίνην
ἰδεῖν ἢ μᾶλλον πρὶν Ὑσμίνης ἐκκεκαῦσθαι τῷ ἔρωτι.
2 Τοίνυν ἐγὼ μὲν τοὺς ὀφθαλμοὺς μετάγω περὶ τὸν κῆπον,
τὴν Ὑσμίνην ἐνοπτριζόμενος· ὁ δέ γε Κρατισθένης ὑπὲρ
τὰς κεφαλὰς τῶν γεγραμμένων ἀνδρῶν ἰαμβεῖον ἓν γεγραμ-
μένον ὁρᾷ· τὸ δ' εἶχεν οὕτως

τοὺς ἄνδρας ἀθρῶν τὸν χρόνον βλέπεις ὅλον.

18 Ἐντεῦθεν κατεφιλοσοφοῦμεν τὰ σχήματα τῶν ἀνδρῶν.

2 Στρατιώτης ὁ πρῶτος τὸν καιρὸν τοῦ χρόνου παρα-
δεικνύει, ὅτε πᾶς ἐκστρατεύει στρατιώτης ἀνὴρ ὅπλοις
ὅλοις καταφραξάμενος.

2 μεθεῖλκε] μεθεῖλκε τῇ χειρὶ AF¹λ μετερρίπιζε] ὅλην μετερρίπιζε Le Basius 2 sq. μετῆγε πρὸς ἑαυτόν] μεθεῖλκε πρὸς ἑαυτόν B 4 ταῦθ' — 7 ἑαυτόν] οὕτω μὲν εἶπε τὰ περὶ τὰς γραφάς B, om. GJR 4 ἐξεπληττόμεθα] πληττόμεθα Gaulm. 5 καὶ σφόδρα μαθεῖν K, καὶ σφοδρότερον μαθεῖν V, σφόδρα μαθεῖν ζ, σφόδρα (σφόδρ' T) ἐκμαθεῖν θλ 5 sq. ἐβουλόμεθα] ἐδεήμεθα (ἐδεόμεθα P²T) θλ 7 καὶ] om GV 8 2. τερπνά] om. ε (praeter κ) πρὶν] πρὸς J 9 πρὶν] om. J Ὑσμίνης] ἰσμήνην R ἐκκεκαῦσθαι] ἐκκαυθῆναι BG, κεκαῦσθαι J, ἐκκακαῦθαι V, ἐκκεκαῦθαι (ἐκκεκάφθαι M, ἐκκεκαῦφθαι T) ε 10 τοίνυν ἐγὼ μὲν] ἐγὼ μὲν τοίνυν η (praeter B) τοὺς] οὖν τοὺς J 11 τὴν Ὑσμίνην] τῇ ἰσμίνῃ V γε] om. B 12 ἀνδρῶν — 12 sq. γεγραμμένον] om. M 12 sq. ἓν γεγραμμένον ὁρᾷ] ἐνγεγραμμένον (sic) ὁρᾷ R, ἓν γεγρ. ὁρᾷς V, γεγρ. ὁρᾷ G, ἓν (om. T) ὁρᾷ γεγρ. NXθ 13 οὕτως] οὕτω Hercherus 14 ἀθρῶν] ὁρῶν V 15 κατεφιλοσοφοῦμεν] ἀνεφιλοσοφοῦμεν J 15 ἀνδρῶν] γεγραμμένων ἀνδρῶν β 16 στρατιώτης GVR, ὡς στρατιώτης Kζ, ὁ στρατιώτης rell. 16 sq. παραδεικνύει G, σοι παριστᾷ κ, παραδεικνύς rell., παραδείκνυσιν Hercherus 17 ὅτε] ὅτι B 17 sq. ὅπλοις ὅλοις] ὅπλοις GJX, ὅλοις ὅπλοις θλ 18 καταφραξάμενος] καταφρ. ἑαυτόν η (praeter B).

3 Ὁ μετ᾽ αὐτὸν αἰπόλος, αἴξ ἡ παρὰ τοῖς ποσὶ τίκτουσα καὶ σύριγξ οἷον αὐλοῦσα τὸν καιρὸν ἐμφαίνει, καθ᾽ ὃν ποιμὴν ἐκ χειμῶνος ἐξάγει τὸ ποίμνιον, καθ᾽ ὃν τίκτουσιν αἶγες καὶ σύριγξ ἁρμόζεται.

4 Ὁ γεγραμμένος λειμών, ὁ ῥόδοις κομῶν καὶ θαλλων τοῖς ἄνθεσιν, ὁ μέσον κατηνθισμένος ἀνὴρ τὸν καιρὸν εἰκονίζει τοῦ ἔαρος.

5 Τὸ χλοηφόρον γεγραμμένον πεδίον, ὁ τὸν χόρτον τίλλων ἀγρότης τὸν καιρὸν παρίστησιν ἐμφανῶς, καθ᾽ ὃν ὁ χόρτος πεπαίνεται καὶ τὴν ἐκτομὴν ἀπαιτεῖ.

6 Ὁ μέσον ἀσταχύων ἀνήρ, ὁ τὸ δρέπανον ἔχων καὶ θερίζων τὸν ἄσταχυν τὸν καιρὸν τοῦ θέρους σοι καταζωγραφεῖ.

7 Ὁ λελουμένος ἀνήρ, ὁ γυμνός, ὁ πίνων, ὁ καυματούμενος τὴν θέρμην ἐμφαίνει σοι τοῦ καιροῦ, τὴν ἐπιτολὴν τοῦ κυνός, ὅθεν τὸ σῶμα καταξηραίνεται.

8 Ὁ τὸν βότρυν ἐκθλίβων, ὁ τὸν βότρυν τρυγῶν τὸν 197
καιρὸν τῆς τρύγης σοι παριστᾷ καὶ τὸ καταπεπάνθαι τοὺς βότρυας.

1 αἴξ] καὶ ἡ αἴξ η (praeter B) ἡ] om. V παρὰ] περὶ δ (praeter κ) 2 καὶ σύριγξ οἷον αὐλοῦσα] om. B ἐμφαίνει] ἐκφαίνει Gη (praeter B) καθ᾽] αγαθ᾽ (sic) O 3 ἐκ χειμῶνος ἐξάγει] ἐκ λειμῶνος ἐξάγει J, ἐκ χειμῶνος ἀνάγει ι (praeter X), ἐξάγει τοῦ χειμῶνος θ, ἐξάγει ἐκ χειμῶνος P[1], τοῦ χειμονῶς ἐξάγει Osannus καθ᾽] καὶ καθ᾽ KVζθ τίκτουσιν] τίκτουσαι F[1], τίκτει V[1] 4 ἁρμόζεται] ἁρμόττεται η (praeter B) 5 ῥόδοις κομῶν] κομῶν ῥόδοις B 5 sq. θάλλων] θάλλει K 6 μέσον] μέσων V, μέσος ι 8 χλοηφόρον] χλοηφοηφόρον F γεγραμμένον πεδίον] πεδίον τὸ γεγραμμένον V πεδίον] παιδίον G[1] 10 ὁ] om. θ 11 μέσον] μέσων OVR, μέστον (sic) F[1] ἀσταχύων] σταχύων θ τὸ] τὸν G, τῶν R 14 sq. ὁ πίνων, ὁ καυματούμενος] om. R 14 sq. καυματούμενος] κεκαυματωμένος V 15 sq. τὴν ἐπιτολὴν] τὴν ἐπιτολὰς (sic) J 17 ὁ τὸν βότρυν ἐκθλίβων] om. GR ζθ ἐκθλίβων] ἐκτρίβων J ὁ τὸν βότρυν τρυγῶν] om. λ 2. ὁ] καὶ V 2. τὸν βότρυν] βότρυς θ 17 sq. τὸν καιρὸν] om. J 18 τῆς τρύγης] τὴν τρύγην J καταπεπάνθαι] πεπάνθαι BKζ, πεπανθέναι η, πεπανθῆναι Le Basius.

9 Ὁ μετ' αὐτὸν ἰξευτὴς ὑπαινίττεταί σοι τὸν χρόνον, καθ' ὃν τὰ πτηνὰ τὸν χειμῶνα φρίσσει καὶ μεταίρει πρὸς τὸ θερμότερον.

10 Ὁρᾷς τὸν γηπόνον ἐπ' ἄροτρον; Οὗτός ἐστιν ὁ καιρός, ὃν καί τις σοφὸς ἐκ τῶν Πληιάδων εἰς ἄροτον ἠκριβώσατο.

11 Ὁ μετ' αὐτὸν σκορπίζων τὸν σῖτον σπορεύς ἐστι καὶ τὸν τοῦ σπόρου καιρὸν καθυπεμφαίνει τῷ ζωγραφήματι.

12 Ὁρᾷς τὸν ἐν μέσῳ κυνῶν νεανίσκον, τὸν τὸν λαγωὸν φέροντα, τὸν τοὺς κύνας καθυποσαίνοντα; Τὸν τῆς θήρας καιρόν σοι παρίστησιν· ἐπεὶ γὰρ συνῆκται ταῖς ἀποθήκαις καὶ σῖτος καὶ οἶνος καὶ τἄλλ' ὁπόσα συναγαγεῖν ἀγαθόν, ἀλλὰ δὴ καὶ τὰ περὶ τὸ μέλλον εὖ διετέθη καὶ γεωργικῶς καὶ γηπονικῶς, ἀνέσει καὶ θήραις καὶ κυνηγεσίοις καιρὸς ἀφωσίωται.

13 Ὁ πολιὸς οὗτος ἀνήρ, ὁ ῥυτίς, ὁ τῇ ἑστίῃ ἐμπελαδὸν παρακαθήμενος τὸ δριμὺ τοῦ χειμῶνος καθυπεμφαίνει σοι, οὐχ ἧττον δὲ καὶ τὸ τοῦ γήρως ψυχρόν· ὁ γάρ τοι

1 αὐτὸν] αὐτὸν τὸν P 2 τὸν χειμῶνα] om. B μεταίρει] μεταίροι O 3 τὸ θερμότερον] τὰ θερμότερα? Hercherus 4 οὗτός] οὕτως (sic) R 5 ἄροτον Hercherus, ἄροτρον α 8 τὸν] om. ζ καθυπεμφαίνει] καθυποφαίνει Jκ 9 νεανίσκον] νεανίσκων R 10 καθυποσαίνοντα] καθυποσαίνοντος P 11 σοι] σοι καιρὸν V[1], τι P[1] ἐπεὶ] ἐπειδὴ κ συνῆκται] συνῆπται Teucherus 12 1. καὶ] ὁ BJ 13 ἀγαθόν] ἀγαθῶν R τὰ περὶ] περὶ ι, om. ζθ εὖ διετέθη] εὖ ἐτέθη θ, καλῶς διετέθη R, εὐδιετέθη (sic) Gaulm., ἐνδιετέθη Teucherus 14 1. καὶ] ἑξῆς καὶ λ, om. Kζθ γεωργικῶς καὶ γηπονικῶς] γηπονικῶς καὶ γεωργικῶς G θήραις] θύραις G, θήρας R 14 sq. καὶ κυνηγεσίοις] om. η (praeter κ) 15 κυνηγεσίοις] κυνηγεσίας R ἀφωσίωται] ἀφοσίωτο ζ, ἀφωσίωνται Le Basius 16 ἀνήρ, ὁ ῥυτίς JV, ἀνὴρ ὁ ῥυτῆς R, ἀνὴρ ἡ ῥυτίς G, ἀνηρυτίς K, ἀνήρ ε ἑστίῃ] ἑστιῇ R, ἑστίας F[1], ἑστία AF corr. λ, ἱστίῃ PT, ἱστίῃ Jζ ἐμπελαδὸν] πελαδὸν V 17 καθυπεμφαίνει] καθυποφαίνει B, καθυπομφαίνει R 18 καὶ τὸ] om. B γήρως] γήρους R, χειμῶνος V.

χειμὼν διὰ κόρης ἀπαλόχροος οὐ διάησι, τροχαλὸν δὲ γέροντα τίθησιν.

19 Οὕτω τοίνυν καταφιλοσοφήσαντες τὴν γραφὴν περὶ
τὸ δωμάτιον ἀνεχωροῦμεν· ὕπνου γὰρ ἐκάλει καιρός. Καὶ
ὁ μὲν Κρατισθένης περὶ τὴν κλίνην ἐγένετο, ἐγὼ δ' ἐνε-
καρτέρουν τῷ κήπῳ, τὴν Ὑσμίνην ἐθέλων ἰδεῖν, καὶ
2 ὅλους πρὸς τὴν πύλην εἶχον τοὺς ὀφθαλμούς· νοῦς γὰρ
ἔρωτι τρωθεὶς ὅλον καθ' αὑτὸν ἀναπλάττει τὸν ἔρωτα
καὶ τοὺς ὀφθαλμοὺς μετάγει περὶ τὸ πλάσμα καὶ ὅλον
ὁρᾶν δοκεῖ τὸ πλαττόμενον· οὕτω πῦρ ἔρωτος πεσὸν εἰς
ψυχὴν καὶ τὰς φύσεις αὐτὰς μεταπλάττει καὶ μεθαρμό- 198
ζεται. Καὶ ὁ Κρατισθένης τῆς κλίνης ἀναστὰς μεθεῖλκέ
με περὶ τὸ δωμάτιον "νὺξ δ' ἤδη τελέθει" λέγων, "ἀγαθὸν
καὶ νυκτὶ πιθέσθαι."

20 Ἐγὼ δὲ πρὸς αὐτὸν "νῦν τὰς γραφὰς ὅλας ἀνεμετροῦμεν τοῖς ὀφθαλμοῖς, τὰς ἐπιγραφὰς ἑωρῶμεν καὶ ταύτας ταῖς γραφαῖς προσηρμόττομεν, καὶ θέρει μὲν καὶ ψύχει καὶ ἔαρι καὶ τοῖς πᾶσιν ἁπλῶς καιρὸς ἀφωσίωται,

1 κόρης ἀπαλόχροος] παρθενικῆς ἀπαλόχροος B, ἀπαλλαχρόου κόρης J διάησι] παρθενικὴν διάησι X, δίεισι AFGJV(—σιν)Rζ τροχαλὸν] om. X¹ δὲ] om. GX¹R 3 καταφιλοσοφήσαντες] καταφιλοσοφίσαντες VR περὶ] ἐπὶ K 4 τὸ] δὲ P¹ ἀνεχωροῦμεν] ἐχωροῦμεν J¹KVζθ ὕπνου] ὕπνον κ 5 μὲν] om. J τὴν κλίνην] τὸν ὕπνον B 5 sq. ἐνεκαρτέρουν] ἀνεκαρτέρουν Gaulm. 6 ἐθέλων] θέλων GJ 7 πρὸς] περὶ V πύλην] πόλιν Gaulm. νοῦς] τῷ V 8 τρωθεὶς] τραφεὶς Gaulm. καθ' αὑτὸν GR, κατὰ νοῦν rell. ἀναπλάττει] ἀναπλάττω V 9 τὸ πλάσμα] τὸ (sic) πλάσματι R 2. καὶ] κἂν KNVζ 10 ὁρᾶν δοκεῖ] ὁρᾶν δοκῇ KV, δοκεῖν ὁρᾶν J 11 μεταπλάττει] μεταλλάττει R 11 sq. μεθαρμόζεται] μεθαρμόττεται Hercherus 12 τῆς κλίνης ἀναστὰς] ἀναστὰς τῆς κλίνης B 12 sq. μεθεῖλκέ με] μεθέλκει με V, μεθέλκεταί με η (praeter B), μεθέλκεται ζ 13 νὺξ] ἡ νὺξ O δ'] om. JVι τελέθει] τελέως K, τε θ λέγων] om. J 14 πιθέσθαι] πίθεσθαι R, πειθέσθαι ATK, πείθεσθαι ι (πείσεσθαι O, πείεσθαι X¹) 15 ὅλας — 16 ἐπιγραφὰς] om. F¹ 15 sq. ἀνεμετροῦμεν GVκ, ἀναμετροῦμεν rell. 16 τὰς] καὶ κ, καὶ τὰς J ἑωρῶμεν Le Basius, ὡρῶμεν G, ὁρῶμεν rell. 17 ταύτας] ταύταις B προσηρμόττομεν] προσαρμόττομεν JP¹η (praeter κ) 18 2. καὶ] om. J.

Ἔρως δ' οὐ περιγέγραπται τῇ γραφῇ, οὐ πρὸς καιρὸν
τῇ τέχνῃ μετεχρωμάτισται· πάντως ὅτι παντὶ καιρῷ
2 μεθαρμόζεται." Ὁ δὲ Κρατισθένης "ἰσχυρῶς σε κατα-
παγιδεύω τοῖς χείλεσι καὶ τοῖς σοῖς τὴν νικῶσαν ἔχω
προβλήμασιν· ἐγγὺς γὰρ ἡ γραφὴ καὶ ἀπαράγραπτος ὁ
γραφεύς· θέρει γὰρ καὶ ψύχει καὶ ἔαρι καιρὸς ἀφωσίωται
κατά γε τὴν γραφὴν καὶ τὸν λόγον τὸν σόν, ἔρωτι δ'
3 οὐδαμῶς· ἂν δ' ὑπὲρ τὰ ἐσκαμμένα πηδᾷ, τυραννὶς τὸ
πρᾶγμα· ἂν καταδυναστεύσας πολλάκις ἐκράτησε παρ'
ἡμῖν, οὐ νόμος τὸ σπάνιον, ἡ γάρ τοι τοῦ ζωγράφου
γραφὶς Ἑρμοῦ ἀκόντιον, ὅλη κατεστομωμένη τοῖς ἐκ τῶν
4 γεγραμμένων προβλήμασιν." Ἐγὼ δὲ πρὸς τὸν Κρατι-
σθένην "ἀλλ' αὐταῖς σοι ταῖς τῶν χρωμάτων βαφαῖς
ἐκθηλυνθήσεται τὸ ἀκόντιον· Ἔρως γὰρ προγέγραπται
βασιλεύς, καὶ πᾶσα φύσις ἀνδρῶν ὡς δούλη παρίστατο,
ἄνδρες δὲ πάντως καὶ οἷς ὁ γραφεὺς τοὺς καιροὺς μεθηρμό-
σατο· εἰ γοῦν τὸ πᾶν καὶ καθόλου δουλοῦται τῷ Ἔρωτι,
5 πῶς τὸ μερικὸν ἐκφύγῃ τὴν δούλωσιν; εἰ δὲ καὶ πᾶν

1 περιγέγραπται] περιγράφεται AF[1]λ 2 πάντως) παντὸς B ὅτι παντὶ] οὗτοι J 3 μεθαρμόζεται] μεθαρμόττεται Hercherus ἰσχυρῶς] ἱκανῶς κ 3 sq. καταπαγιδεύω] καταπαγιδεύειν K 4 χείλεσι] ῥήμασι B 5 προβλήμασιν] προβήμασιν M γὰρ BGR, om. rell ἀπαράγραπτος] ὁ παράγραπτος Teucherus 6 γὰρ] τε B, om. F[2] 7 τὸν λόγον τὸν σόν] τὸ σὸν μυσταγώγημα B, λόγον τὸν σόν ε 8 οὐδαμῶς] οὐδαμοῦ ζθ 8 sq. τὸ πρᾶγμα] om. G 9 καταδυναστεύσας] κατ. τις τὸ πρᾶγμα G πολλάκις] om. B 10 τοι] τι FNO, om. ATG 11 γραφὶς] γραφῇ (sic) R ἀκόντιον scripsi, μοι ἀκόντιον α, τὸ ἀκόντιον Hercherus, sed retractavit in adnot. 12 γεγραμμένων] λίθων κ τὸν] αὐτὸν B 12 sq. Κρατισθένην — 13 σοι] om. B 13 τῶν] τὴν Gaulm. 14 ἐκθηλυνθήσεται] ἐνθηλ. B προγέγραπται] προσγέγραπται η (praeter B) 15 φύσις ἀνδρῶν] κτίσις αὐτῷ G δούλη] δοῦλοι RV, δούλει P[1] παρίστατο GJ, παρήσταντο R, παρίστανται V, παρίσταται δ 16 καὶ οἷς] καὶ οἷς ὁ καιρὸς καὶ οἷς P[1] ὁ γραφεὺς τοὺς καιρούς] τοὺς καιροὺς ὁ γραφεὺς η (praeter B), ὁ τοὺς καιροὺς γραφεὺς P, ὁ γραφεὺς J 17 καὶ καθόλου] om. B δουλοῦται] δουλοῦται κατὰ τὴν φυγὴν P[1], γυμνοῦται K 18 μερικὸν] μικρὸν B καὶ] om. V.

τμῆμα καιροῦ καὶ διάστημα τὴν σύστασιν ἔσχηκεν ὡς ἐξ
ὕλης ἐξ ἡμέρας καὶ νυκτός, αὗται δὲ δοῦλαι κατὰ τὴν
γραφὴν καὶ τὸ σὸν μυσταγώγημα, εὔδηλον ὡς καὶ τὸ
ἐκ τούτων καὶ δι' αὐτῶν καὶ ὅλον ἐν ὅλαις αὐταῖς οὐκ 199
ἀποφύγῃ τὴν δούλωσιν, ἀλλ' ἆκον συνδουλαγωγηθήσεται."
6 Ταῦτ' εἶπον, καὶ τὸν Κρατισθένην εὐθὺς κατεφίλησα
"νικῶ σε" λέγων "Κρατίσθενες·" ὁ δ' "ἔστω, νενίκηκας·
γενώμεθα περὶ τὸ δωμάτιον."
21 Καὶ γεγονότες ἀνακεκλίμεθα. Καί τις ψόφος περὶ
τὸν κῆπον γενόμενος τῆς κλίνης μ' ἀνέσπασε· καὶ περὶ
τὸ φρέαρ τὴν Ὑσμίνην ὁρῶ, πρὸς ἣν κατεπέτασα, καὶ
τοῦ ποδὸς ἐμνήσθην τοῦ Ἔρωτος ὅτι μὴ κατ' ἄνθρωπον
2 ἦν ἀλλ' ὅλον πτερόν· καὶ τὸν ζωγράφον τῆς γραφῆς
ἐμακάρισα, Ἔρως γὰρ καὶ τοὺς ἐμοὺς τούτους πόδας
ἐπτέρωσε· καὶ μηδὲν αἰδεσθεὶς ὅλαις χερσὶ τὴν κόρην
κατασχὼν κατεφίλησα· ἡ δ' ἐξ αἰδοῦς καὶ θάμβους "τί
πάσχεις;" ἀνέκραξε· "τῆς ἀναιδείας τοῦ κήρυκος·" ἐγὼ
δ' "οὐδὲν" εἶπον "ἄλλο πλὴν ἔρωτος τὴν πικρὰν ταύτην
3 καὶ γλυκυτάτην μοι πάθησιν." Καὶ πάλιν κατεφίλουν

1 τμῆμα] τλῆμα O, πτῆμα K, τὸ τμῆμα R καὶ] om. G^{1}J 1 sq. τὴν σύστασιν ἔσχηκεν ὡς ἐξ ὕλης ἐξ ἡμέρας καὶ νυκτός scripsi, ἐξ ἡμέρας (ἡμετέρας K) καὶ νυκτὸς ὡς ἐξ ὕλης (ὅλης V) τὴν σύστασιν (στάσιν J) ἔσχηκεν α 2 δοῦλαι] δουλοῦνται G τὴν] om. F^{1}J 3 1. καὶ — ὡς] om. Teucherus τὸ σὸν μυσταγώγημα] τὸν λόγον τὸν σόν B εὔδηλον] ἔνδηλον N, ἔκδηλον J 4 δι' αὐτῶν καὶ] om. X 2. καὶ] om. B 5 ἀποφύγῃ] ἀποφύγοι F, ἀποφύγει R ἆκον K (ἄκον), ἄκων rell. συνδουλαγωγηθήσεται] δουλαγωγηθήσεται J 6 εἶπον] εἰπὼν V^{1} καὶ] om. B 8 γενώμεθα] γενόμεθα λ, γινώμεθα R, ἐγενόμεθα J, γνώμεθα P 9 ἀνακεκλίμεθα] ἀνεκεκλίμεθα GV 10 μ'] om. ε 13 ὅλον] ὅσον V^{1} 14 ἐμακάρισα] ἐμακάλυσα P^{2} τούτους] om. G 16 κατασχὼν κατεφίλησα] κατασχὼν ἐφίλησα F^{2}, κατεφίλησα P^{1}, ἐφίλησα P^{2}, ἐφίλησα κατασχών η (praeter B), κατεφίλησα κατασχών Le Basius 16 sq. τί πάσχεις] om. G 17 ἀνέκραξε] ἀνέκραζεν η (praeter B) τῆς ἀναιδείας τοῦ κήρυκος] om. η (praeter κ) 18 εἶπον] om. κ ἄλλο] om. ζ τὴν πικρὰν] om. R^{1} 19 καὶ γλυκυτάτην] om. V πάθησιν] πάθεσιν O.

αὐτήν, καὶ πάλιν συνέσφιγγον καὶ ὅλην εἷλκον πρὸς ἑαυ-
τόν, καὶ πρὸς τὴν ψυχὴν μετεβίβαζον, καὶ τοῖς δακτύλοις
κατέθλιβον, καὶ ὅλην κατέδακνον, ὅλην ἀνερρόφουν τοῖς
χείλεσι καὶ ὅλος ὅλην ὡς κιττὸς συνεῖχον κυπάριττον·
4 συνεπλεκόμην τῇ κόρῃ, συνερριζούμην αὐτῇ καὶ τὴν φύσιν
ἐζήτουν κοινώσασθαι καὶ ἤθελον ὅλην καταφαγεῖν καὶ
ὅλην αὐτὴν κατερεύγεσθαι· ὅλην ἦγον περὶ τὸ χεῖλος καὶ
ὡς ἐκ σίμβλου τοῦ χείλους τῆς κόρης μέλι γλυκάζον
ἐτρύγων τοῖς χείλεσιν.

22 Ἡ δέ μοι γενομένη περὶ τὸ στόμα δάκνει μου τὸ
χεῖλος καὶ τοὺς ὀδόντας αὐτῆς ὅλους τοῖς ἐμοῖς κατε-
φύτευσε χείλεσι· καί μοι περὶ τὴν ψυχὴν ἐβλάστησαν
ἔρωτες καὶ γιγάντων παλαμναιότεροι. Ἐγὼ δ' ἀλγήσας
συνέσχον αὐτὰ καὶ οἷον ἐστέναξα, ἡ δ' "ἀλγεῖς τὰ χείλη;"
φησίν· "ἀλλ' ἤλγησα κἀγὼ τὴν ψυχήν, ὅτε μου ταῦτα 200
καὶ σὺ τὸν ἔρωτα προπετῶς ἐπὶ τῆς τοῦ πατρὸς τραπέζης
2 ἐξεφαύλισας." Καὶ πρὸς τὴν κόρην ἐγὼ "ἰδού μοι τἆλλα
τῶν μελῶν θλιβέσθωσαν· τὰ δέ μοι χείλη τιμάσθω
3 καθυπουργοῦντά μοι τοῖς φιλήμασιν. Εἰ δέ μοι κέντρον
φέρεις ὡς μέλιττα καὶ φυλάττεις τὸ σίμβλον καὶ πλήττεις
τὸν τοῦ μέλιτος τρυγητήν, ἐγκαρτερήσω τῷ σίμβλῳ, τὸν
ἐκ τοῦ κέντρου πόνον ὑφέξω καὶ τρυγήσω τοῦ μέλιτος·

1 sq. ἑαυτόν] ἐμαυτόν η (praeter B) 3 2. ὅλην] καὶ ὅλην GJη (praeter B) ἀνερρόφουν Rλ, ἀνερρόφων rell. 4 ὡς κιττὸς συνεῖχον] συνεῖχον ὡς κισσὸς V 5 συνεπλεκόμην] καὶ συνεπλ. V συνερριζούμην] συνεστερνιζόμην J 7 ἦγον] εἶχον V περὶ] παρὰ Gaulm. 9 ἐτρύγων] ἐτρύγουν ε 10 γενομένη] γινομένη G 10 sq. τὸ χεῖλος] τὰ χείλη Vε (praeter B) 11 ὅλους τοῖς ἐμοῖς] τοῖς ἐμοῖς ὅλους R 11 sq. κατεφύτευσε] ἐγκατεφύτευσε? Hercherus 14 συνέσχον] ξυνέχων P αὐτὰ] αὐτὴν Jκ ἀλγεῖς] ἤλγησας η (praeter B) 15 ὅτε] ὅτι κ μου] μοι Hercherus ταῦτα] om. κ 17 ἐξεφαύλισας] ἐξεφαυλίσατε KV μοι] σοι κ μοι τἆλλα] τἆλλα μοι R 18 μελῶν G, μελῶν καὶ rell. χείλη] om. Vε (praeter κ) 19 μοι] μου Hercherus 22 κέντρου] δευτέρου J πόνον] πόθον N, λόγον R.

οὐ γάρ με στερήσει πόνος γλυκύτητος μέλιτος, ὥσπερ
4 οὐδ' ἄκανθα ῥόδου τοῦ ῥόδου κωλύσει με." Καὶ πάλιν
ἐφίλουν αὐτὴν καὶ πάλιν συνέθλιβον καί τι δρᾶν ἐπεχεί-
ρουν ἐρωτικώτερον· ἡ δ' "ἀλλ' οὐκ ἔσται σοι τοῦτο, νὴ
τὴν Ὑσμίνην" ἔλεγεν· ἐγὼ δ' "οὐκ ἀνήσω, νὴ τὸν
Ὑσμινίαν" ἀντέλεγον.
23 Καὶ ἦν ἔρις παρ' ἡμῖν Σωφροσύνης καὶ Ἔρωτος, εἰ
μή τις Αἰδῶ τὴν Σωφροσύνην ἐκείνην ἐθέλει καλεῖν· ὁ
μὲν γὰρ ὡς ἀπὸ γῆς μοι κρατῆρας ἀνῆπτε πυρός, ἡ δ'
2 ὡς ἐξ οὐρανοῦ τὴν κόρην ἐψέκαζεν· ὁ μὲν ὅλας ἐξεκένου
φαρέτρας, ἡ δ' Αἰδὼς τῇ παρθένῳ ἀσπὶς ἑπταβόειος· ὁ
μέν μοι τὴν ἐν χερσὶ λαμπάδα κατ' ὀφθαλμῶν ἀνῆψεν
ἐρωτικῶς καὶ τὴν φλόγα πρὸς τὴν ψυχὴν μετερρίπιζεν,
ἡ δ' ὅλας πηγὰς δακρύων ἐκ τῶν τῆς κόρης ὀφθαλμῶν
3 ἀνεστόμωσεν. Ἀλλ' ὕδωρ Αἰδοῦς Ἔρωτος πῦρ οὐ κα-
τέκλυσεν, ἀλλ' ἤδη στεφανίτης ἐγώ, καὶ Σωφροσύνης Ἔρως
ἐκράτησεν ἄν, εἰ μή τις περὶ τὴν πύλην γενόμενος (τῆς
4 δυστυχίας) τὴν Ὑσμίνην ἐζήτει. Πρὸς ὃ δὴ σφόδρα κατα-
θορυβηθέντες ἡμεῖς ἀπ' ἀλλήλων ᾠχόμεθα· καὶ ἡ μὲν
παρθένος (εἰρήσθω γὰρ καὶ πάλιν παρθένος· οὕτω γὰρ
δοκεῖ Σωφροσύνῃ καὶ δαίμοσιν) πρὸς τῷ φρέατι γέγονε· καὶ

1 οὐ — μέλιτος] om. K γλυκύτητος] γλυκύτατος AF^1, γλυκυτάτου V 2 τοῦ ῥόδου] τὸ ῥόδον R, om. F^{1}OV 3 ἐφίλουν] om. V πάλιν] πάλιν αὐτὴν καὶ πάλιν V 5 ἔλεγεν] φησίν Vδ, om. GJ δ'] δ' ἀλλ' η (praeter B) 6 ἀντέλεγον] om. μ 7 ἔρις] ἔρως B εἰ] καὶ V 8 τὴν] om. J ἐκείνην] om. G^1 ἐθέλει] ἐθέλοι JRζ 9 ὡς] om. G γῆς] πηγῆς V ἀνῆπτε] ἀνῆπται G^{1}Rε (praeter B) ἡ] ὁ J 11 τῇ παρθένῳ] τῇ (sic) παρθένου R 12 μοι] τοι BKN κατ' ὀφθαλμῶν] κατὰ χειρῶν η (praeter κ) ἀνῆψεν] ἀνῆπτεν B 15 ἀλλ' — 15 sq. κατέκλυσεν] om. B 16 Ἔρως] om. G^1 17 ἄν] om. AF^{1}λ περὶ] παρὰ Gaulm. 18 ἐζήτει] ἐκάλει R δὴ] καὶ K, om. Le Basius 20 γὰρ] γὰρ τἀληθὲς V παρθένος] om. η (praeter κ) 21 δοκεῖ Σωφροσύνῃ] σωφροσύνη B, σωφροσύνη δοκεῖ ε πρὸς τῷ φρέατι γέγονε scripsi, ἐπὶ τῷ φρέατι γέγονε GJKVζ, ἐπὶ τὸ φρέαρ χωρεῖ R, ἐγένετο περὶ τὸ δωμάτιον κ, ἐπὶ τὸ τοῦ φρέατος στεφάνωμα γέγονε η, ἐπὶ τὸ φρέαρ γέγονε Hercherus.

ἣν τοῖς περὶ τὸ στεφάνωμα παρακαθημένη πτηνοῖς καὶ
τούτοις προσπαίζουσα.

24 Ἐγὼ δὲ περὶ τὸ δωμάτιον γεγονὼς ἀνεκεκλίμην 201
εὐθὺς καὶ ὅλον τὸν ὑπνοῦντα καθυπεκρινόμην σοφῶς,
ἑαυτὸν μεταπλάττων ἐξ αἰδοῦς καὶ φόβου καὶ ἔρωτος.
2 Τὸ κηρύκειον ᾐσχυνόμην, τὸν ἐκ δάφνης στέφανον, τὸ
ἱερὸν πέδιλον, τὸν σεμνὸν χιτῶνα καὶ τὰ Διάσια· τὸν
Σωσθένην ἐφοβούμην, τὴν Πανθίαν καὶ ὅλην Αὐλίκωμιν,
3 καὶ μᾶλλον ἐμαυτοῦ τὴν Ὑσμίνην ἠλέουν ἐξ ἔρωτος. Ὁ
δὲ καλὸς Κρατισθένης τῆς κλίνης ἐξαναστὰς καὶ περὶ τὸν
κῆπον γενόμενος καὶ μήτε τὴν Ὑσμίνην ἰδὼν μήτε τινὸς
περὶ τὴν οἰκίαν ἀκούσας φωνῆς (ἦν γὰρ πάνθ' ὁρῶν τὰ
γινόμενα) πρός μ' ἧκε λέγων "μηδέν σοι τοῦ πλάσματος."
4 Ἐγὼ δ' ὅλος ἀνέστην ὑπότρομος· καὶ ὁ Κρατισθένης "τῆς
δειλίας τοῦ κήρυκος." Ἐγὼ δ' ὅμως καὶ πάλιν ἤμην
ὑπότρομος, καὶ τὴν Ὑσμίνην ἐζήτουν ἰδεῖν λέγων "ὠλώλειν,
Κρατίσθενες." Καὶ ὁ Κρατισθένης "σίγα" φησὶ "καὶ περὶ
τὸν ὕπνον γενώμεθα· σοφὸν γάρ τοι κἂν κακοῖς ἃ δεῖ φρονεῖν."

1 ἦν ε (praeter B), ἦν περὶ rell. τοῖς] om. V περὶ] εἰς G, om. BR τὸ στεφάνωμα] τὸ τοῦ φρέατος στεφάνωμα Τζ, τοῦ φρέατος στεφάνωμα AF[1], ταῖς τοῦ φρέατος στεφάνωμα F[2], τὸ στεφάνωμα τοῦ φρέατος JV, τοῦ φρέατος λ, τὸ G παρακαθημένη] παρακαθημένοις BJVR πτηνοῖς] στρουθοῖς V 2 προσπαίζουσα] πρὸς τοῦτο παιδεύουσα J, πρὸς τοῦτο παιδεύουσα καὶ προσπαίζουσα V 3 γεγονὼς] om. GJR ἀνεκεκλίμην] ἀνακέκλιμαι V, ἀνακεκλιμένη P 4 ὅλον] ὅλος K τὸν ὑπνοῦντα] ὑπνοῦντά με B σοφῶς] σαφῶς JV 5 μεταπλάττων] ἀναπλάττων R 8 τὴν] καὶ τὴν κ 9 ἐμαυτοῦ] ἑαυτοῦ G, ἐμαυτῷ J, ἐμαυτὸν ζ τὴν] τὴν ὡς K 10 τῆς κλίνης] om. G ἐξαναστὰς GR, ἀναστὰς rell. 11 καὶ] om. V 1. μήτε] μήτε μὴν κ ἰδὼν] εἰδὼς G 12 ἀκούσας] om. J πάνθ'] πάνθ' ὅσα P[1] ὁρῶν] ὁρᾶν JV 14 ὅλος] ὅλως Jζ 14 ἀνέστην — 15 ὅμως] om. J 14 καὶ] καὶ τὴν ὑσμίνην ἐζήτουν ἰδεῖν ἂν νεκρῶς G 14 ὁ — 15 ὅμως] om. G 14 τῆς] ἰατό με τῆς κ 15 ὅμως R, ὅλως ζκ, ὅλος rell. 16 ὠλώλειν BGJKR, ὀλώλειν FVλ, ὀλλώλειν Αζ, ὀλώλλειν T 18 τοι] τι Gϑ, ἔστι Le Basius.

25 Κἀγὼ δ' ἐσίγων μέν, ἀλλά μου τοὺς ὀφθαλμοὺς ὁ
ὕπνος ἐμίσησε καὶ δυσωπούμενος ἔφυγε, καὶ ἤμην ὅλος ἄγρυ-
πνος, ὅλος ὅλας ἀναπλάττων ὑποθέσεις τῷ λογισμῷ καὶ
τέλος ὡς "οὐκέτι τὴν καλὴν Ὑσμίνην καταφιλήσω, οὐκέτι
καταθλίψω τοὺς δακτύλους ἐρωτικῶς, οὐκέτι κατὰ κιττὸν
συμπλακήσομαι, οὐκέτι νέκταρ, ἀλλὰ κόνδυ πικρίας κατα-
2 κεράσομαι, οὐκέτι τρυγήσω τοῦ μέλιτος, οὐκέτι τῷ κέντρῳ
πληγήσομαι, οὐκ ἐκροφήσω τὴν κόρην τοῖς χείλεσιν, ἃ
πάντα σπουδάζων ἐρωτικῶς ἔπαιζον." Ταῦτ' ἐπλαττόμην
εἰς νοῦν, καὶ τὸ δάκρυον κατὰ ποταμοὺς τῶν ὀφθαλμῶν
ἐξεχεῖτό μοι, ὅ μου κατακλύσαν τοὺς λογισμοὺς ἐναπέ-
πνιξε καὶ καταμεθύσαν εἰς ὕπνον μετήγαγε.

1 κἀγὼ] ἐγὼ Gaulm. ὁ J, om. T, καὶ ὁ rell. 2 ἐμίσησε] ἐξέφυγε η (praeter κ) ἔφυγε] ἔφευγε Vε (praeter B), ἐξέφυγε Le Basius 3 ὅλος] om. κ ἀναπλάττων] ἀναπλάττω BJ, om. K ὑποθέσεις τῷ λογισμῷ] τῷ λογισμῷ ὑποθέσεις J 4 ὡς] om. ε τὴν καλὴν Ὑσμίνην καταφιλήσω] om. μ (O^1) Ὑσμίνην] ὑσμίνην ταύτην B 2. οὐκέτι] om. μ 5 ἐρωτικῶς] ἐρωτικός J, ἐρωτικούς F 6 sq. κατακεράσομαι] κεράσομαι BG^1 7 τῷ] om. ε (praeter κ) 8 οὐκ ἐκροφήσω] οὐκέτι ῥοφήσω ζθ (οὐκέτι ῥυφήσω P^2), οὐκ ἐκφορήσω Gaulm. τὴν κόρην] τὸ κόνδυ J 9 ἐρωτικῶς] ἐρωτικώτερον BGJR 10 δάκρυον] δάκρυ F ποταμοὺς] ποταμὸν B τῶν ὀφθαλμῶν] ἐξ ὀφθαλμῶν R, om. B 11 μοι] μου G ὅ μου ζμ, ὅ μοι B, καὶ ὁμοῦ R, ὃ F, ὁμοῦ rell., καὶ Hercherus κατακλύσαν] καταπνίξαν η (praeter κ) λογισμοὺς] ὀφθαλμοὺς G 11 sq. ἐναπέπνιξε] ἀνέπνιξε G 12 καὶ] om. J καταμεθύσαν] καταμεθύσαντες P^1, om. M, καταμεθύσαν μ' V, καταμεθύσαν με ε (praeter B) εἰς om. P^1 μετήγαγε] μ' ἀπήγαγεν δ (praeter κ), ἀπήγαγεν Le Basius.

E

1 Καὶ δή με κατακοιμώμενον ὅλος χορὸς ὀνείρων 202
περιεστοίχισε καί μοι συνέπαιζε καὶ κατέπαιζεν ὅσα
παίζουσιν ὄνειροι. Ὁ μέν μοι τὴν Ὑσμίνην ὑπεζωγρά-
φησε συμπαίζουσαν, φιλουμένην, φιλοῦσαν, δακνομένην
ἐρωτικῶς, ἀντιδάκνουσαν, ὅλην συμπλεκομένην μοι καὶ
2 καταπλεκομένην ἐξ ἔρωτος· ὁ δέ μοι καὶ συνανέκλινε
ταύτην καὶ στρωμνὴν ἐρωτικῶν χαρίτων ὑπέστρωσε, φιλη-
μάτων, γαργαλισμάτων, θλίψεων σαρκῶν, συμπλοκῶν χει-
3 ρῶν καὶ τῶν ἄλλων μελῶν· ὁ δέ τις αὐτῶν ὅλον βαλανεῖον
ἐδημιούργησε καί μοι τὴν Ὑσμίνην συνέλουσε καὶ πάσας
ἐρωτικὰς ἐξεκένωσε χάριτας· περὶ τὸ στῆθος τῆς κόρης
ὅλον μοι τὸ στόμα συνέρραψε τοῖς ὀδοῦσι δάκνον, τοῖς
χείλεσιν ἐκμυζῶν καὶ τῇ γλώσσῃ μεταβιβάζον εἰς τὴν

2 περιεστοίχισε] περιεστήκειστοίχησε V (στήκει expunctum) μοι] με F^1 2. καὶ) ὅπου F^1 κατέπαιζεν] μετέπαιζεν (τέπαιζεν F^1) η (praeter ϰ), με κατέπαιζεν Hercheri exemplum editionis Gaulminianae (meum: κατέπαιζεν) 3 sq. ὑπεζωγράφησε] ὑπεζωγράφει δ (praeter B) 4 συμπαίζουσαν] ἔρως B 5 συμπλεκομένην μοι] συμπλεκομένην V, μοι συμπλεκομένην R 5 sq. καὶ καταπλεκομένην] om. OR 6 sq. μοι καὶ συνανέκλινε ταύτην] καὶ ταύτην μοι συνανέκλινε J 6 καὶ] om. Vλ συνανέκλινε] συνανέκρινε V, συνέκλινε R 7 ταύτην] ταύτη K, ταύτην καὶ πάσας ἐρωτικὰς ἐξεκένωσε χάριτας ϰ καὶ] om. F^2P στρωμνὴν] ὑποστρωμὴν (sic) P 8 σαρκῶν] σαρκικῶν V συμπλοκῶν] συμπλοκῶν χειλέων, περιπλοκῶν δ (praeter B) 8 sq. χειρῶν] χειρῶν, ποδῶν ἐμπλοκῶν (χ. π. ἐκπλοκῶν P) δ (praeter B) 9 μελῶν] μερῶν V 10 Ὑσμίνην] κόρην ϰ 11 ἐρωτικὰς] ἐρωτικῶς η (praeter ϰ), om. G ἐξεκένωσε] ἐκένωσε JV 12 μοι] μου V, μού μοι Le Basius.

ψυχὴν τὸν λωτόν· ἃ πάνθ᾽ ἡ κόρη περὶ τὸν ἐμὸν ἀν-
4 τέπραττε τράχηλον. Καὶ θέλων παίζειν ἐρωτικῶς τὸ λουτρὸν ἐξεπύρωσε· καί με καταδιψήσας καὶ τεχνικῶς κατακαυματώσας τοὺς μαστοὺς τῆς κόρης κρουνούς μοι παρεῖχε γλυκάζοντας· οὓς τῷ στόματι παραθέμενος τῆς ψυχῆς μοι τὸ καῦμα κατέψυχε, ψυχρὰν ἡδονὴν πηγάζων γλυκυτέραν καὶ νέκταρος, καὶ τέλος ταῖς ἀλλήλων ὠλέναις ἡμᾶς κατεκοίμισεν.

2 Ἄλλος παστάδα κατέπηξε, νυμφοστολήσας ταύτην λαμπρῶς καὶ φιλοτίμως νυμφαγωγήσας, καὶ συστεφανώσας μοι τὴν Ὑσμίνην μεγαλοπρεπῶς συνεκάθισε καὶ τράπεζαν παρετίθετο καὶ τὸν ὑμέναιον ᾖδε καὶ τοὺς ἔρωτας ἔπλαττε περὶ τὴν τράπεζαν ὀρχουμένους καὶ παίζοντας ὅσα παίζουσιν ἔρωτες.

3 Ὁ δέ μοι πλάττει τὸν κῆπον παλαμναιότατος ὄνειρος, 203
καὶ τὴν Ὑσμίνην εἰσάγει κἀμὲ τῆς κλίνης ἀνίστησι, περὶ
2 τὴν κόρην ἐξάγει, καθυπουργεῖ μοι τὸν ἔρωτα. Κἀγὼ τὴν παρθένον ἐφέλκομαι τὰ πρῶτα μὴ θέλουσαν, συνέχω, θλίβω, δάκνω, φιλῶ, περιπλέκομαι, καί τι δρᾶν ἐθέλων ἐρωτικώτερον οὐ συνεχωρούμην τῇ κόρῃ καὶ πρὸς ἔριν

1 ἃ πάνθ᾽] ἅπανθ᾽ AFPVλ 1 sq. ἀντέπραττε BK, ἀντέπραττε R, ἀντέτραπται ζ, ἀνατέτραπται η, ἀντέγραφε G, ἐγέγραπτο JV 3 1. καί — 7 2. καὶ] om. V 3 με] μοι ζ 3 sq. τεχνικῶς κατακαυματώσας] κατακαυματώσας τεχνικῶς B 4 μαστοὺς] μασθοὺς δ, μαζοὺς Teucherus 6 μοι] μου ε (praeter B) κατέψυχε] κατέψυχον δ (praeter κ) πηγάζων κ, πηγάζον GJK, πηγάζοντες R, πηγάζοντας ε 7 νέκταρος] μέλιτος B 8 κατεκοίμισεν GJK, κατεκοίμησεν rell. 9 ἄλλος] ἄλλως M κατέπηξε] κατέπηξε καὶ Hercherus 10 συστεφανώσας] στεφανώσας R, συστενώσας P 11 τράπεζαν] τράπεζα Vε 12 ἔπλαττε] om. V 13 περὶ τὴν τράπεζαν] om. B, παρὰ τὴν τράπεζαν Gaulm. 15 παλαμναιότατος] παλαμναιότερος R 16 περὶ] καὶ περὶ κ 17 ἐξάγει] ἐξάγει καὶ δ (praeter B) μοι] με ζ, μου O 18 παρθένον] κόρην B 19 καί] καὶ γέ O ἐθέλων] θέλων V 20 τῇ κόρῃ] τὴν κόρην K.

3 μετάγω τὸν ἔρωτα. Ἐν μέσοις τούτοις ἡ τῆς κόρης μήτηρ
ἐφίσταται, καὶ τοῦ πλοκάμου λαβομένη τὴν κόρην ὡς
ἐκ λείας ἐφέλκεται λάφυρον, λοιδοροῦσα τῇ γλώσσῃ καὶ
πλήττουσα τῇ χειρί· ἐγὼ δ' ὥσπερ κατακεραυνωθεὶς
4 ὅλος ἤμην ἐμβρόντητος. Ἀλλ' ὁ πάντων ὀνείρων ἀγριώτατος
ὄνειρος οὔτε μ' ἀφῆκεν ἀναισθητεῖν καὶ τὴν τῆς Πανθίας
γλῶσσαν εἰς Τυρσηνικὴν μετεχάλκευσε σάλπιγγα κατα-
τραγῳδοῦσαν τὰ κατ' ἐμὲ καὶ καταλοιδοροῦσάν μοι τὸ
κηρύκειον "βαβαὶ τῆς σκηνῆς, τῆς ὑποκρίσεως" λέγουσαν
5 "Ζεῦ καὶ θεοί· ὁ κῆρυξ, ὁ παρθένος, ὁ τῆς δάφνης
ἐστεφανωμένος, ὁ τὰ Διάσια φέρων εἰς Αὐλικώμιδα, ὁ παρ'
ἡμῖν ἴσα καὶ θεῷ φιλοτίμως φιλοφρονούμενος, μοιχός,
ἀκόλαστος, βιαστής, δεύτερος Πάρις εἰς Αὐλικώμιδα κατα-
συλᾷ μου τὸν θησαυρόν, ἀνορύττει μου τὸ κειμήλιον.
6 Ἀλλ' ἔχω σε τὸν λῃστήν, τὸν τοιχωρύχον, τὸν ἀλι-
τήριον, τὸν ἀποσυλῶντα τὰ κάλλιστα. Μητέρες ὅσαι παρ-

1 μετάγω] ἐπάγω N ἐν RVη (praeter B), καὶ rell., καὶ ἐν Le Basius, κἂν Hercherus μέσοις] μέσοις δὴ N ἡ] καὶ ἡ η (praeter κ) 1 sq. μήτηρ ἐφίσταται] μήτηρ ὑφίσταται K, ἐφίσταται μήτηρ η (praeter B) 2 λαβομένη] λαμβανομένη V τὴν κόρην] τῆς κόρης GJ, τὴν κόμην V 5 ἤμην] ἥμην V ἐμβρόντητος] ἐκβρόντητος V, ὑπότρομος κ ἀγριώτατος GR, ἀγροιώτατος V, ἀγροιώτερος P, ἀγριώτερος rell. 6 οὔτε μ'] οὔτε με P, οὔτοι μ' R, οὔτοι ἔμ' J, οὔτ' ἔμ' η (praeter B) καὶ] ἀλλὰ καὶ B 6 sq. τὴν τῆς Πανθίας γλῶσσαν] τῆς πανθίας τὴν γλῶτταν J 7 σάλπιγγα] σάλπιγγος R 7 sq. κατατραγῳδοῦσαν] κατατραγοῦσαν P^{2}T 8 κατ'] μετ' P καταλοιδοροῦσάν] καταλοιδοροῦσά B, καταλοιδορούσης J μοι] με V, μου Jη (praeter B) 9 2. τῆς] βαβαὶ τῆς B λέγουσαν Hercheri exemplum editionis Gaulminianae, λέγουσα meum ut α 10 Ζεῦ] ὦ ζεῦ V 1. ὁ] ὦ V 10 3. ὁ — 11 Αὐλικώμιδα] om. η (praeter κ) 10 τῆς] supra lineam F^{2} 11 ἐστεφανωμένος] ἐστεμμένος J Αὐλικώμιδα] Αὐλίκωμιν Hercherus 11 ὁ — 13 Αὐλικώμιδα] om. J 12 καὶ] om. M 13 ἀκόλαστος, βιαστής] ἀκ. βιασθεὶς R, βιαστής, ἀκόλαστος B Αὐλικώμιδα] Αὐλίκωμιν Hercherus 14 1. μου] μοι CM 2. μου] μοι G κειμήλιον] κηρύκιον P^{2}T 15 1. τὸν] om. Le Basius τοιχωρύχον] τυμβορύχον V 16 ἀποσυλῶντα] ἀποσυλλῶντα M ἀποσυλλοῦντα GVR μητέρες] om. K lacuna indicata.

θενικοὺς θησαυροὺς κατορύττεσθε καὶ περὶ τὴν φυλακὴν ἀγρυπνεῖτε τῶν θησαυρῶν, ἰδοὺ τὸν ἐπίβουλον ἔχω τῷ τῆς δάφνης στεφάνῳ κατακρυπτόμενον, τῷ σεμνῷ χιτῶνι, τῷ ἱερῷ πεδίλῳ καὶ τῷ κηρύγματι, ὅλην ἐνδεδυμένον τὴν
7 λεοντῆν, ὅλην ὑποπλαττόμενον τὴν σκηνήν. Οἷς ὁ γλυκὺς
6 ἀντιπνεύσας τῆς σωφροσύνης ζέφυρος ἐλέγχει τὸν δόλον,
ἀπογυμνοῖ τὸ κρυπτόμενον· καὶ νῦν οὐκέτι κῆρυξ ὁ κῆρυξ, 204
8 ἀλλ' ἅρπαξ, ἀλλὰ ληστής, ἀλλὰ τύραννος. Λάινον τῷ τυράννῳ τὸν χιτῶνα, γυναῖκες, ἐξυφανούμεθα· καταζωγραφήσωμεν τὴν σκηνήν, τὴν ὑπόκρισιν τεχνουργήσωμεν καὶ στηλιτεύσωμεν τῷ χιτῶνι τὸν τύραννον, ἵν' ᾖ τοῦτο γυναιξὶ κόσμος, παρθένοις τεῖχος, καὶ στέφανος Αὐλικώμιδος.

Τί δ'; οὐ γυναῖκες εἷλον Αἰγύπτου τέκνα
καὶ Λῆμνον ἄρδην ἀρσένων ἐξῴκισαν;

Πολυμήστωρ δ' οὐκ ἐκ γυναικῶν ἐξεκόπη τοὺς ὀφθαλμούς;"

4 Ταῦτ' εἶπε καὶ στρατὸν καθώπλισε γυναικῶν καὶ παντελῶς κατεβάκχευσε καὶ κατ' ἐμῆς κεφαλῆς ἐξεστράτευσεν· ἐγὼ δ' ἐξεθαμβήθην ὁρῶν καὶ πρὸς τὸν Κρατι-

1 κατορύττεσθε] κατορύττεσθαι λ, κατακρύπτεσθε B, κατορύττετε F^2, ἀνορύττεσθε J, καταρρύτεσθε V τὴν] ταύτην τὴν V φυλακὴν] κεφαλὴν η (praeter κ) 2 τῶν θησαυρῶν] τὸν θησαυρόν V ἔχω] ἔχω τὸν Jκ 2 sq. τῷ τῆς δάφνης στεφάνῳ] τῆς δάφνης τῶ στεφάνω η (praeter B) 3 κατακρυπτόμενον] κατακοσμούμενον Gaulm. 3 τῷ — 4 1. τῷ] ἐν τῶ — ἐν τῶ κ 4 ἐνδεδυμένον] ἐνδεδυμένος ζ, ἐνδεδυμένην B 5 ὅλην] ὅλην τὸν P, ὅλον B γλυκὺς] om. J 6 ἀντιπνεύσας τῆς σωφροσύνης ζέφυρος] ζέφυρος ἀντιπνεύσας τῆς σωφοσύνης J 7 τὸ] τὸν ε (praeter BT) ὁ κῆρυξ] om. NP 8 ληστής] βιαστής B ἀλλὰ τύραννος] om. J λάινον] λάϊον GR τὸν] om. B 9 ἐξυφανούμεθα] ἐξυφηνούμεθα P^2, ἐξυφηνώμεθα η (praeter B), ἐξυφανώμεθα Osannus 9 sq. καταζωγραφήσωμεν] καταζωγραφήσομεν K 11 ἵν'] εἰ ζ 12 τεῖχος] κόσμος V 15 καὶ Λῆμνον ἄρδην ἀρσένων ἐξῴκισαν] om. JVδ 16 Πολυμήστωρ] πολυμνήστωρ X^2 δ'] om. Gaulm. γυναικῶν] γυναικὸς δ (praeter κ) 18 1. καὶ] καὶ τὸν θ 18 sq. καὶ παντελῶς κατεβάκχευσε] om. B 19 κατ'] κατὰ τῆς G 19 sq. ἐξεστράτευσεν] κατεστράτευσεν B.

2 σθένην ἔλεγον "ὠλώλειν, Κρατίσθενες." Ὁ δέ μου τῇ
γλώσσῃ καταθορυβηθεὶς ἀνίσταται τῆς στρωμνῆς, πλήσσει
με τῇ χειρὶ καὶ τὸν μὲν ὄνειρον τῆς ψυχῆς, τὸν δ' ὕπνον
3 ἀποσπᾷ μου τῶν ὀφθαλμῶν. Ἐγὼ δ' ἐδόκουν νὴ τοὺς
θεοὺς ἔτι τὰς γυναῖκας ὁρᾶν, καὶ πρὸς τὸν Κρατισθένην
ἔλεγον "ἀπολώλαμεν, ἀπολώλαμεν· Πανθία στρατεύει,
καὶ γυναῖκες τὸ στράτευμα· Ζεὺς δὲ πρῶτον κατεστρατή-
5 γησεν, οὗ τὸ κηρύκειον ἔψευσμαι." Καὶ ὁ Κρατισθένης
"ἔτι δοκεῖς ὀνειρώττειν μοι·" ἐγὼ δὲ πρὸς αὐτὸν

"ἀποπέμπομαι ἔννυχον ὄψιν,"

καὶ τὰ περὶ τοὺς ὕπνους ἐξηγούμην αὐτῷ, ὅσα με κα-
τέπαιζον ὄνειροι, ὅσα με κατεγλύκαινον, ὅσα μου πρὸς
2 ἡδονὴν μετεπλάττοντο, καὶ τέλος τὸν κῆπον, τὴν Ὑσμί-
νην, τὴν σωφροσύνην αὐτῆς, τὴν ἐμὴν βίαν, τὴν ἔριν,
καὶ τὴν ἐπὶ τούτοις τῆς Πανθίας ἐπίθεσιν, τὸν ἑλκυσμὸν
τῆς κόρης, τὴν κατ' ἐμοῦ μηχανήν, τὴν καταδρομήν, τὴν
3 ὕβριν, καὶ ἐπὶ πᾶσι τὸ τῶν γυναικῶν στράτευμα. "Πρὸς
ὃ δὴ σφόδρα καταθορυβηθεὶς τὴν ψυχὴν σὲ τὸν καλὸν 205
Κρατισθένην ἐπεκαλούμην πυκνά· καὶ δέδοικα μὴ τὸ
μέλλον μοι τὸ δαιμόνιον ἐν ὀνείροις ὑπεζωγράφησεν· εἴθι-
σται γὰρ τούτῳ προκηρύσσειν ἐν ὕπνοις τὰ μέλλοντα."

1 ὠλώλειν] ὀλώλλειν, ὀλώλλειν ϑ, ὀλώλειν, ὀλώλειν N, ὀλώλειν V, ὀλώλλειν μ, ὀλλώλειν ζ μου] μοι BGJR 3 2 τὸν] om. F 5 ἔτι] ἐπὶ Gaulm. 6 ἀπολώλαμεν, ἀπολώλαμεν] ὀλλώλειν (ὀλώλειν N, ὀλώλλειν AFX) κρατίσθενες ε (praeter B) Πανθία] πάντα M 7 καὶ] om. ε (praeter B) πρῶτον] πρῶτος δ, τὸ πρῶτον Gaulm. 8 ἔψευσμαι] κατέψευσμαι ε (praeter B) 9 μοι] σε B δὲ] om. ε (praeter B) 11 περὶ] παρὰ Gaulm. με] μου PVη (praeter B) 12 με] μου ζ μου] με BGJR om. V 13 μετεπλάττοντο] μετέπλαττον G, κατεπλάττοντο ε (praeter B) 14 τὴν ἐμὴν βίαν, τὴν ἔριν] τὴν ἐμὴν ἔριν, τὴν βίαν G[1] 15 τὴν ἐπὶ τούτοις] ἐπὶ τούτοις τὴν Hercherus τῆς] τὴν τῆς F, τὴν Cη (praeter B) ἐπίθεσιν] ἐπέλευσιν ε (praeter B) 19 ἐπεκαλούμην AGR, μετεκαλούμην KTVζ, μετεκαλοῦμεν BJ, μετεπικαλοῦμην (sic) Fλ, ἐπεκαλοῦμεν Gaulm. 19 sq. τὸ μέλλον μοι τὸ δαιμόνιον] τὸ δαιμόνιον τὸ μέλλον μοι J 20 ὀνείροις] ὕπνοις Gaulm. 21 τούτῳ] προλέγειν τοῦτο καὶ κ ἐν ὕπνοις] om. T, ἐν ὀνείροις Gaulm.

4 Καὶ ὁ Κρατισθένης "μεθημερινὴ φροντίς ἐστιν ὄνειρος·
ταῦτά σε καθυπέτρεχεν, ὅθ' ὁ περὶ τὴν πύλην ψόφος
ὑμᾶς ἀπ' ἀλλήλων διέσπασεν· ἀλλ' ἤδη τὸν Σωσθένην
ὁρῶ πρὸς ἡμᾶς ἐρχόμενον σπουδαιότερον." Ἐγὼ δ' "ὠλώ-
λειν" ὑπεψιθύρισα.

6 Ἧκεν ὁ Σωσθένης καὶ περὶ τὴν πύλην τοῦ δω-
ματίου γενόμενος "Ὑσμινία κῆρυξ" φησὶν "ἰδού σοι πᾶσα
πόλις Αὐλίκωμις πρὸ πυλῶν· πάντες ζητοῦσι τὸν κήρυκα·
τὴν κεφαλὴν στεφανώθητι, τῷ χιτῶνι καὶ τῷ πεδίλῳ
κατακοσμήθητι, ὅλον περιδύθητι τὸ κηρύκειον, ἵνα σε
καὶ Ποσειδῶν αἰδεσθῇ καὶ πνεῦμα θύσῃ Διὶ μετάγον εἰς
2 Εὐρυκώμιδα." Ἐγὼ δ' ἀλλὰ κἂν ἐδεδοίκειν, κἂν ἔφριττον,
κἂν σχηματισμὸν τὰ τοῦ Σωσθένους εἶχον καὶ ὅλην
σκηνήν, ἐνεδυσάμην τὸν κήρυκα· καὶ περὶ τὸν κῆπον
γενόμενος χορὸν ὁρῶ παρθένων οὐκ εὐαρίθμητον, ὃν δὴ
πάντα καὶ χιτὼν κατεκόσμει περικαλλὴς καὶ στέφανος ἐκ
3 δάφνης τὴν παρθενίαν παραδεικνύς. Εἶδον οὖν καὶ νὴ τὸν
τύραννον Ἔρωτα τοῖς ἔργοις αὐτὸν ὁρᾶν ἐδόκουν τὸν
ὄνειρον· καὶ μικροῦ δεῖν καὶ αὐτὴν τὴν ψυχὴν ἀπεφύσησα,

2 ταῦτά — 3 διέσπασεν] om. V 2 σε] σοι Gε (praeter B) πύλην] κλίνην ε (praeter B) 3 ὑμᾶς Rϑ, ἡμᾶς rell. διέσπασεν] διέστησεν GJRκ τὸν] om. Gaulm. Σωσθένην] κρατισθένην P[2]T 4 sq. ὠλώλειν] ὀλώλειν NTV, ὀλλώλειν AFζμ 6 ὁ] οὖν ὁ λ 6 sq. δωματίου] δώματος B 8 πάντες] σὲ πάντες η (praeter B), πάντες σε Le Basius 9 1. τῷ — 10 κατακοσμήθητι] om. O 9 1. τῷ] τῷ τε N 10 ὅλον] καὶ ὅλον Vκ περιδύθητι] περιδέθητι B, περιδόθητι O κηρύκειον] χιτώνιον J[1]ϑ ἵνα] om. X[1] σε] σοι Tζ 11 θύσῃ] θήσει ε (praeter B) μετάγον BGKR, μετάγων rell. εἰς] πρὸς ε (praeter κ) 12 Εὐρυκώμιδα] Εὐρύκωμιν Hercherus 13 σχηματισμὸν Hercherus, χρηματισμὸν κ, χρωματισμὸν rell. τὰ GKRκ, om. rell. εἶχον] εἶχον ῥημάτων V 13 sq. καὶ ὅλην σκηνήν] om. ε (praeter κ) 14 ἐνεδυσάμην] ἀνεδυσάμην AFλ, ἀλλ' ὅμως V (in fine paginae) 15 παρθένων] παρθένον R εὐαρίθμητον] ἐναρίθμητον O 16 κατεκόσμει] ἐκόσμει Vε (praeter B) περικαλλὴς] περικλεῶς M 17 παραδεικνύς] δεικνύς ε (praeter κ) καὶ] om. κ 18 τύραννον Ἔρωτα] ἔρωτα τύραννον J, ἔρωτα ε (praeter B) τοῖς] αὐτοῖς κ αὐτὸν ὁρᾶν ἐδόκουν] αὐτὸν ἐδόκουν ὁρᾶν λ, ὁρᾶν αὐτὸν ἐδόκουν K.

εἰ μὴ καὶ τὴν Ὑσμίνην εἶδον ἐν μέσῳ κατὰ σελήνην ἐν ἄστρασι, τἆλλα μὲν κατακεκοσμημένην βασιλικῶς, τὴν
4 δὲ κεφαλὴν ἐκ δάφνης ἐστεφανωμένην παρθενικῶς. Ὅλην τοίνυν ἀτενῶς τὴν κόρην ἰδὼν καὶ τὴν κεφαλὴν ὑποκλίνας ὑπέκλεψα τὸ προσκύνημα· ἡ δὲ καθυποκριθεῖσα τὸ τὸν χιτῶνα διακοσμεῖν ἀντεπροσκύνησε φανερώτερον καὶ λίαν ἐρωτικὸν ἐμειδίασε καί μου τὴν ψυχὴν ὅλην ἐπλήρωσεν 206
ἡδονῆς ἀρρήτου καὶ χάριτος, καὶ θάρρους ἐνέπλησεν.

7 Ἥκω περὶ τὴν πύλην τοῦ κήπου καὶ πᾶσαν ὁρῶ τὴν Αὐλίκωμιν ποικίλην μοι τὴν προπομπὴν ἐξυφαίνουσαν ᾠδαῖς, κυμβάλοις, λαμπάσι, παστάσι, ῥόδοις, ἄνθεσιν, ὕμνοις, ἀλαλαγμοῖς καὶ πᾶσιν ἄλλοις ὅσα μὴ κήρυξιν
2 ἀλλὰ θεοῖς ἀφωσίωται. Καὶ ἵνα μὴ δοκῶ σοι δοξομανεῖν κατὰ μέρος καταρρητορεύων τῷ λόγῳ τὴν προπομπήν, οὕτω τὴν καλὴν ἐξῆλθον Αὐλίκωμιν, τὴν τῆς Ὑσμίνης πατρίδα, τὴν καλλιγύναικα, ὡς Ὀλυμπιονίκης καὶ νικήσας τὸ πένταθλον, καί, ἵνα τἀν μέσῳ παρῶ, περὶ τὴν ἐμὴν ἧκον Εὐρύκωμιν.

8 Καὶ πάλιν ἡ πόλις ὀρθή, καὶ πάλιν ὄχλος ἐπὶ τὸν κήρυκα, καὶ πάλιν ἔρις ἐν πόλεσι· δοκεῖ γάρ μοι πόλις Εὐρύκωμις πατρὶς ἐμὴ πρὸς αὐτὴν ἐρίζειν Αὐλίκωμιν τὴν

1 καὶ] om. ε (praeter κ) κατὰ] καθὰ CJTλ 2 κατακεκοσμημένην] κατακοσμουμένην V 2 βασιλικῶς — 3 ἐστεφανωμένην] om. G 3 ἐστεφανωμένην] ἐστεμμένην J 4 ὑποκλίνας] ὑπεκκλίνας FNX, ὑπεκλίνας AO 5 2. τὸ GKR, om. rell. 6 ἀντεπροσκύνησε] ἀντιπροσεκύνησε B 7 μου] μοι V 7 sq. ἐπλήρωσεν ἡδονῆς] ἡδονῆς ἐπλήρωσεν, ἡδονῆς ε (praeter κ), ἡδονῆς ἐπλήρωσεν Le Basius 8 θάρρους] θάρσους G 10 μοι] μου ζ 12 ἀλαλαγμοῖς V(ἀλλ—)Rκ, λαλαγαῖς Jζ, ἀλαλαγαῖς GK, ἀλλαλαγαῖς η 13 δοκῶ σοι] σοι δοκῶ B, om. N 14 καταρρητορεύων] καταρρητορεύσω AF[1]λ(—ρεύω O), καταρητορεύσω JTζ 16 καὶ] om. V τὸ] τὸν BK, καὶ R 17 ἧκον] ἥκω ε (praeter B), ἦλθον J 17 sq. Εὐρύκωμιν] αὐλίκωμιν V 19 ἐπὶ] περὶ η (praeter B) 20 γάρ μοι] μοι γὰρ V 20 πόλις — 21 ἐμὴ] πατρὶς πόλις εὐρύκωμις V 21 ἐμὴ] ἐμοὶ J 21 sq. τὴν τῆς Ὑσμίνης πατρίδα] om. B.

τῆς Ὑσμίνης πατρίδα καὶ μὴ παραχωρεῖν τῶν πρωτείων
2 τῆς προπομπῆς. Οὕτω τοίνυν, οὕτω λαμπρῶς, οὕτω
φιλοτίμως, οὕτω βασιλικῶς ἐπ' αὐτὸν ἥκω βωμὸν Ξενίου
Διός, καί μοι συνείπετο πᾶν τὸ συνεκπλεῦσαν ἐξ Αὐλικώ-
3 μιδος. Ἀλλ' ἐμὸς πατὴρ Θεμιστεὺς καὶ μήτηρ Διάντεια
ἐν μέσῳ λαμπρῷ θεάτρῳ καὶ μέσοις ὄχλοις περιχυθέντες
με περιπτύσσονται, συμπλέκονται, καταπλέκονται, τοῖς
ἐξ ἡδονῆς με καταβρέχουσι δάκρυσι καί με περὶ τὸν οἶκον
μετάγουσιν.

9 Ἐγὼ δ' "ἀλλὰ καὶ τὸν Σωσθένην" εἶπον, "ὅτι με
λαμπρῶς μάλα καὶ φιλοτίμως ἐς Αὐλίκωμιν ἐφιλοφρονή-
σατο." Πείθεταί μοι τῷ λόγῳ πατὴρ Θεμιστεὺς καὶ
πρὸς αὐτὸν γεγονὼς "χαίροις, Σώσθενες" εἶπε, "καί σοι
χάρις <παρὰ> Ξενίῳ Διὶ τῆς φιλοφροσύνης τοῦ κήρυκος."
2 Καὶ τοῦτον σὺν ἡμῖν ἐπὶ τὴν ἡμετέραν μετήγαγε, σὺν 207
αὐτῇ Πανθίᾳ, σὺν Ὑσμίνῃ καὶ σὺν ὅσοι τῷ Σωσθένει
πρὸς Εὐρύκωμιν ἐξ Αὐλικώμιδος συμπεπλεύκασιν· ἥκομεν
οὖν ἐπὶ τὴν οἰκίαν, καὶ τράπεζα παρετίθετο, καὶ ἡμεῖς
3 συνανεκλινόμεθα. Ἐκ μὲν οὖν [τοῦ] τῆς περὶ τὸν κῆπον

1 μὴ] om. B παραχωρεῖν] περιχωρεῖν B 3 ἐπ' αὐτὸν ἥκω] ἥκω εἰς αὐτὸν V ἐπ' K, ἐς (ἰς O) rell. ἥκω βωμὸν] βωμὸν ἥκω ε (praeter B) 3 sq. Ξενίου Διός] διὸς ξενίου C[1] 4 τὸ] om. F[1] 5 ἐμὸς] οὑμὸς ε (praeter B) 7 με] om. JVε (praeter κ) συμπλέκονται, καταπλέκονται KR, περιπλέκονται, συμπλέκονται, καταπλέκονται G, συμπλέκονται κ, καταπλέκονται V, καταπεριπλέκονται ζ, περιπλέκονται Jη, καταπλέκοντες, συμπλέκοντες Gaulm., παραπλέκονται, ξυμπλέκονται Le Basius, περιπλέκονται, ξυμπλέκονται Hercherus 8 με] om. Jε 10 ἀλλὰ] ἀλλά τε (ἀλλά τι O) η (praeter B) καὶ] καὶ πρὸς (καὶ πρῶ O) Jε (praeter B) 11 λαμπρῶς μάλα καὶ] μάλα λαμπρῶς καὶ K, λαμπρῶς καὶ μάλα V 12 μοι] μου Jε (praeter B) 13 χαίροις] χαῖρε B 14 <παρὰ> scripsi, om. α, καὶ Le Basius 15 ἡμετέραν] ἡμετέραν οἰκίαν ε (praeter B) 16 καὶ] om. η 2. σὺν] om. G ὅσοι] ὅσοις GVRε (praeter B) 17 συμπεπλεύκασιν] συνεκπλεύκασιν V, ξυμπλεύκασιν P 18 ἐπὶ] περὶ Gε (praeter κ) παρετίθετο] παρατίθετο R 19 οὖν [τοῦ] scripsi, οὖν τοῦ GKRκ, om. rell., τοῦ μέρους Le Basius, οὖν τοῦ μέρους Hercherus περὶ τὸν κῆπον] τοῦ κήπου V.

[μέρους] τῆς τραπέζης πλευρᾶς πατὴρ ἐμὸς Θεμιστεὺς καὶ μήτηρ Διάντεια καὶ τρίτος ἐγώ, ὅλον ἀποθέμενος τὸ κηρύκειον· ἐκ δὲ θατέρου Σωσθένης πατὴρ Ὑσμίνης,
4 Πανθία μήτηρ· καὶ μετὰ δὴ τὴν μητέρα τὴν Ὑσμίνην
5 ἡ τάξις ἐκάλεσεν· ἐγὼ γοῦν καθ' αὑτὸν τὴν τάξιν ἐπῄνεσα καὶ ταύτης ἐμαυτὸν ἐμακάρισα, τὸ πρᾶγμα κρίνων οἰωνὸν αἰσιώτατον, κἀξ αὐτῆς, ὅ φασι, γραμμῆς εὐτυχεῖν ἐδόκουν τὸν ἔρωτα.

10 Πότου γοῦν ἐκάλει καιρός, καὶ παρὰ Σωσθένει καὶ
10 Θεμιστεῖ πατράσιν ἡμῶν μικρὸν ὑπέπαιζεν ἔρις, οὐχ ὡς παίζουσιν ἔριδες, ἀλλ' ὡς οἶδε παίζειν ἐν γέρουσι φρόνησις.
2 Προπίνει γοῦν Σωσθένης ἡττώμενος καὶ Θεμιστεὺς νικῶν μετ' αὐτόν (νίκη γὰρ παρ' αὐτοῖς, ὃ παρὰ μὴ φρονοῦσιν ἧττα λογίζεται), καὶ μετ' αὐτοὺς αἱ γυναῖκες τιμῶσαι
3 σιγήν, ὅτι καὶ κόσμος ταῖς γυναιξὶν ἡ σιγή. Μετὰ γοῦν
16 τὴν Πανθίαν καὶ τὴν ἐμὴν μητέρα Διάντειαν ἧκε φέρων

1 [μέρους] scripsi, μιᾶς κ, μέρους rell., transposuit (v. supra) Le Basius τῆς] om. Gε πατὴρ ἐμὸς] πατὴρ ὁ ἐμὸς J, ἐμὸς πατὴρ Vλ, πατὴρ ἐμοὶ ζ, ἐμὸς F[1] καὶ] om. GJδ (praeter κ) 2 καὶ — 3 κηρύκειον] om. B 2 τρίτος] τρίτον Le Basius 3 δὲ θατέρου BKV, θατέρου GJR, θατέρου δὲ ε 4 Πανθία μήτηρ] μήτηρ πανθία GJ καὶ] om. ε (praeter B) δὴ] om. BVR, δὲ Pη 1. τὴν] om. R μητέρα τὴν] μητρίαν B 5 ἐκάλεσεν] ἐκέλευσεν R, ἐκάθισεν Vε (praeter B) ἐγὼ] καὶ ἐγὼ Gaulm. καθ' αὑτὸν] καθ' ἑαυτὸν V, κατ' (κατὰ P[1]) αὐτὸν ζ, κατ' ἐμαυτὸν η (praeter B) 6 καὶ] om. Bζ ταύτης ἐμαυτὸν ἐμακάρισα] om. B κρίνων BKR, κρίνας rell. 7 κἀξ scripsi, καὶ ἐξ BGJKVRζ, καὶ ἀπ' η εὐτυχεῖν] ἐντυχεῖν ε (praeter Tκ), εὐτυχῆ Gaulm. 8 τὸν] εἰς JKVκ 9 Σωσθένει] σωσθένη λ 10 ἡμῶν] ἡμῖν V μικρὸν ὑπέπαιζεν ἔρις BKV, μικρὸν ὑπέπαιξεν ἔρις GR, ὑπέπαιζεν ἔρις μικρὸν Jε 11 ἔριδες] ἔρωτες N[1] ἐν γέρουσι] ἐν γέρονι (sic) B, ἐγείρουσι V 13 αὐτοῖς] αὐτοῖς ἡ παρ' αὐτοῖς F[1] ὃ] ἣ ε (praeter BN) παρὰ μὴ φρονοῦσιν scripsi, μὴ παρὰ μὴ φρονοῦσιν K, μὴ παρὰ τοῖς φρονοῦσιν V, μὴ παραφρονοῦσιν BR, μὴ παρὰ φρονοῦσιν GJ, παρ' ἀφρονοῦσιν P, παρὰ φρονοῦσιν M, παραφρονοῦσιν rell. 15 κόσμος ταῖς γυναιξὶν] γυναιξὶ κόσμος B ἡ σιγή] τὸ σιγᾶν ε (praeter B) γοῦν] γοῦν δὴ Hercherus.

ἐπ' ἐμὲ Κρατισθένης τὸ ἔκπωμα· τούτῳ γὰρ ὁ πατὴρ
οἰνοχοεῖν ἐγκελεύεται· ἐγὼ δὲ λαβὼν μικρὸν ἐξερρόφησα·
εἶθ' ὡς ἐκ μεταμέλου πρὸς τὸν δόντ' ἀντιδέδωκα, κατα-
λοιδορήσας αὐτῷ τῆς ἀταξίας καὶ τῆς τῆς εὐταξίας συγ-
χύσεως· ἡ γὰρ τάξις τῇ κατὰ μέτωπόν μου παρθένῳ
4 τὸ προπιεῖν ἐχαρίσατο. Ὁ δὲ πεισθεὶς πρὸς αὐτὴν ἐκόμισε
τὸ ποτήριον· ἡ δ' ὅλαις χερσὶν ὑπεδέξατο, κἂν ὡς
παρθένος ἄκροις δακτύλοις ἐδέξατο· καὶ τὸν νοῦν ὅλον
καταλαβοῦσα τοῦ δράματος εὐχαριστεῖ μοι τῷ σχήματι,
μικρὸν τὴν κεφαλὴν ἐρωτικῶς ὑποκλίνασα, οἷον κυπάριττος 208
ἀνεμουμένη μικρὸν ἐξ εὐκραοῦς ζεφύρου λεπτοῦ· καὶ ἦν
5 τὸ σχῆμα χαρίτων μεστὸν καὶ εἴδωλον Ἔρωτος. Οὕτως
ἐκοινούμεθα τὸ ποτήριον, καὶ ἦμεν ὅλοι συμπίνοντες καὶ
λίαν ἐρωτικῶς καταπίνοντες· οὕτω τὰ χείλη παραδόξως
ἀνακεκράμεθα, ὅλον ἐρώτων ἐρατὸν ὀπὸν ἀμελγόμενοι
καὶ ὅλους ἀλλήλους τοῖς ὀφθαλμοῖς μεθέλκοντες ἐπὶ τὰς
ψυχάς.

11 Πότου καὶ πάλιν καιρός· καὶ πάλιν Κρατισθένης
κιρνᾷ, καὶ πάλιν Σωσθένης προπίνει, καὶ μετ' αὐτὸν ὁ

1 Κρατισθένης Le Basius, καλλισθένης α τούτῳ] τοῦτον B 2 ἐξερρόφησα] ἐρρόφησα R 3 ὡς] οὕτως V μεταμέλου] μεταμέλους AFλ, μεταμελείας J τὸν] τῷ J ἀντιδέδωκα] ἀντέδωκα J 4 αὐτῷ τῆς ἀταξίας] τῆς ἀταξίας αὐτοῦ J, αὐτὸν τῆς ἀταξίας B 3. τῆς] om. KPη 5 τῇ] τῆς F 6 τὸ] om. Jε (praeter κ) ἐχαρίσατο] ἐνεχαρίσατο P 7 ὅλαις] ὅλαις ταῖς η (praeter B) 7 κἂν — 8 ἐδέξατο] om. λ 7 κἂν] καὶ κ 9 μοι BKV, με R, μὲν GJε 10 μικρὸν] om. B ἐρωτικῶς] om. B 11 ἀνεμουμένη] ἀνελκομένη B μικρὸν] om. NR λεπτοῦ] λεπτὸν JVε (praeter B), [λεπτοῦ] Hercherus 12 τὸ] om. Teucherus 13 ἐκοινούμεθα] ἐκινούμεθα V ἦμεν] οἱ μὲν P, ἡ μὲν T ὅλοι] ὅλον KVR, om. κ 13 2. καὶ — 14 καταπίνοντες] om. λ 13 2. καὶ] ὅλον καὶ κ 14 οὕτω] οὕτως V 15 ἀνακεκράμεθα] ἀνεκεκράμεθα ϑ ὅλον] ὅλων G ἐρώτων ἐρατὸν] ἐρώτων ἐραστὸν (ἐραστὸν ἐρώτων N) ι, ἐρώτων ἑαυτοῖς λ V 16 ὅλους GKκ, ὅλος J, ὅλως R, ὅλοις ε ἀλλήλους GKRκ, ἀλλή J, ἀλλήλοις Vε 18 πάλιν] πάλιν ἐκάλει V, πάλιν ἧκε ε (praeter B) 18 2. καὶ — 19 κιρνᾷ] om. B 18 Κρατισθένης Le Basius, καλλισθένης α 19 1. καὶ] om. V 19 sq. καὶ μετ' αὐτὸν ὁ πατήρ] om. V.

πατήρ, Πανθία συνήθως καὶ μήτηρ Διάντεια, καὶ μετ᾽
2 αὐτὴν Ὑσμίνη παρθένος ἔρωτος πνέουσα· ἡ δὲ κατὰ
παρθένον ἄκροις δακτύλοις δεξαμένη τὸ ἔκπωμα καὶ τοῖς
χείλεσι παρθενικῶς προσεγγίσασα καὶ μόνον γευσαμένη τοῦ
πόματος ὅλον ἀντιδέδωκε τὸ ποτήριον, παρθενικῆς αἰδοῦς
3 καθυπουργησάσης τῷ πλάσματι. Καὶ πρὸς τὸν Κρατι-
σθένην ἐγὼ (οὐδὲ γὰρ οὐδ᾽ ἐμὲ τὸ πλάσμα διέλαθεν,
ὅλην ἀτενῶς ὁρῶντα τὴν κόρην, ὅλην εἰκονίζοντα κατὰ
νοῦν καὶ ὅλην ἀναπλαττόμενον· ἐμὲ δ᾽ ἐξεπύρωσε τὸ
κηρύκειον καὶ διψητικώτατον ἔθετο) "κἀμοὶ παράσχου τὸ
4 ἔκπωμα." Ὁ δ᾽ ἀλλὰ (τί γὰρ ἄλλο ποιεῖν ἔμελλε;) παρε-
τίθετο, καὶ νὴ τὸν Ἔρωτα τὴν παρθένον ἐδόκουν πίνειν
αὐτήν· τὰ χείλη ταύτης κατεφίλουν ἐρωτικῶς καὶ φιλῶν
ὑπέκλεπτον τὰ φιλήματα· ὑπηρέτην εἶχον τὸ ἔκπωμα τῆς
5 ἐμῆς φίλης Ὑσμίνης τὰ χείλη μετακομίζον μοι. Ἐξερρό-
φουν τοῦ πόματος καὶ νὴ τοὺς θεοὺς τοιοῦτον εἰς αὐτὴν
κατέρρει μου τὴν ψυχήν, οἷον ἐν ὀνείροις ἀπὸ μαστῶν
ἐξερρόφησα· καὶ περιεργότερον ὅλον ἔβλεπον τὸ ποτήριον,
μή τι τοῦ χείλους τῆς κόρης τῷ χείλει τοῦ ποτηρίου

1 Πανθία] καὶ πανθία ε (praeter B) 2 αὐτὴν] αὐτῶν J 3 δεξαμένη] λαβομένη V 5 πόματος] πόματος ὡς G ὅλον] καὶ ὅλον Le Basius ἀντιδέδωκε] ἀνέδωκε B, ἀποδίδωσι K, ἀποδέδωκε Gaulm. 6 καθυπουργησάσης] καθυπουργοῦσα κ πλάσματι] λειτουργήματι V 6 sq. κρατισθένην X², καλλισθένην rell. 7 οὐδ᾽] om. Jδ (praeter B) ἐμὲ] με F¹ 8 ἀτενῶς] ἀτεχνῶς V ὁρῶντα τὴν κόρην] τὴν κόρην ὁρῶντα B 9 ἀναπλαττόμενον] ἀναπλαττόμενος ζ, ἀναπλαττομένην R δ᾽] om. ε (praeter BN¹) 10 διψητικώτατον JVζ, διψηκώτατον R, διψηλότατον BGK, διψηκότατον η ἔθετο] ἔθηκε V κἀμοὶ scripsi, καί μοι α παράσχου] παρασχὼν V, παράσχων P¹ 11 τί γὰρ] γάρ τι V ἄλλο] ἄλλο ἴδεε N¹ 12 παρθένον] κόρην ε (praeter B); O addit: ἐδόκουν ὁρᾶν, τὴν κόρην et N: ἐδόκουν ὁρᾶν, τὴν κόρην ἐδόκουν ὁρᾶν, τὴν κόρην 13 αὐτήν] om. O κατεφίλουν] ἐφίλουν B 14 ὑπέκλεπτον] ὑπέκλεπτα (sic) Vζ 15 μετακομίζον JKRκ, μετακομίζω V, κομίζον G, διακομίζον ε 15 sq. ἐξερρόφουν] ὑπερρόφουν κ, ἐξερρόφων Osannus 16 τοὺς θεοὺς] τὸν ἔρωτα B 17 ἀπὸ] ὑπὸ Jε (praeter κ) 18 ἔβλεπον] ὑπέβλεπον κ, ἐπέβλεπον K.

6 κεκόλληται. Ἡ δ' ὁρῶσά μου καὶ τὸ σχῆμα καὶ τὸ βλέμμα 209
καὶ τὴν μεθ' ἡδονῆς τοῦ πόματος ἀναρρόφησιν ἐρωτικῶς ἐμειδία καὶ Χάριτας ὅλας ὡς ἐν κατόπτροις ὑπεζωγράφησε τοῖς ὀφθαλμοῖς καὶ ὅλον τὸν Ἔρωτα.

12 Μετὰ γοῦν δὴ πολυτελεῖς τὰς τροφάς, αἷς μέχρι χειρὸς καὶ στόματος ἐνετρύφων (ὀφθαλμοὺς γάρ μοι καὶ ὅσον αἰσθητικώτερον ἡ παρθένος ἐρωτικῶς ἐξωνήσατο καὶ ταύτῃ δουλεύουσιν), ὁ Κρατισθένης καὶ πάλιν ἐπὶ τῷ λειτουργήματι καὶ μετὰ πατέρας καὶ μητέρας ἡμῶν ἐπὶ
2 τὴν κόρην ἧκε κιρνῶν· ἡ δ' ἀλλὰ καὶ πάλιν μικρὸν ἐκροφήσασα πρὸς τὴν μητέρα φησὶ παρθενικῇ φωνῇ καὶ οἵαν ἐκ ζεφύρου πίτυς ὑπεψιθύρισεν ἂν "μῆτερ, οὐκ ἐθέλω
3 πιεῖν." Ἡ δὲ Πανθία πρὸς τὸν Κρατισθένην φησὶ "τέκνον, λαβοῦ τὸ ποτήριον," ὁ δ' ἐκ τῶν τῆς κόρης χειρῶν ἀνελόμενος ταῖς ἐμαῖς παρατίθησιν· ἐγὼ δὲ πάλιν ἐδόκουν ὅλην τὴν κόρην λαβεῖν καὶ ὅλην αὐτὴν ἐκροφᾶν· καὶ εἶχον τὸ ἔκπωμα φιλημάτων γέμον καὶ διακομίζον φιλή-
4 ματα, καὶ κατεφίλησα τὰ φιλήματα. Καὶ ἦν μοι νέκταρ τὸ πόμα, οἷον Ἀφροδίτη κιρνᾷ καὶ πίνουσιν Ἔρωτες, τὸ δ' ἔκπωμα κάτοπτρον ὅλην αὐτὴν τὴν κόρην σὺν αὐταῖς

1 1. καὶ] om. R 2. τὸ] om. R 3 ἐμειδία] ἐμειδίασε JVε (praeter B) ἐν κατόπτροις] ἐγκατόπτροις K ὑπεζωγράφησε] ὑπεζωγράφει K 5 πολυτελεῖς τὰς] τὰς πολυτελεῖς B, πολυτελεῖς J αἷς] ἃς B 6 χειρὸς] χειρῶν V μοι] μου? Hercherus 7 ἐρωτικῶς Hercherus, ἔρωτι α, ἐρωτικὸν Gaulm. 7 sq. καὶ ταύτῃ δουλεύουσιν] delevit Hercherus 8 Κρατισθένης Le Basius, καλλισθένης α καὶ] om. V 9 ἡμῶν] ἡμῖν V 11 μητέρα] παρθένον V[1] φωνῇ] τῇ φωνῇ AFλ οἵαν] οἷον Hercherus 12 ἐκ] ὑπὸ V πίτυς] πίους ζ, πίου (ἠπίου X) η (praeter κ) ὑπεψιθύρισεν] ἐψιθύρισεν V 13 πιεῖν] ποιεῖν ζ Κρατισθένην Le Basius, καλλισθένην α 14 τῆς κόρης χειρῶν] χειρῶν τῆς κόρης η (praeter B) 15 δὲ] δὲ καὶ BJV 15 sq. ἐδόκουν ὅλην τὴν κόρην] ὅλην ἐδόκουν τὴν κόρην K, ὅλην ἐδόκουν τὴν χεῖρα V, ἐδόκουν τὴν κόρην ὅλην ε (praeter B) 16 ἐκροφᾶν] ἐκφορᾶν P, ἐκροφεῖν Hercherus 17 εἶχον AFλ, ἦν B, εἶχε rell. 18 καὶ κατεφίλησα τὰ φιλήματα] om. ε (praeter κ) κατεφίλησα] κατεφίλησε Gaulm. 19 τὸ πόμα] om. JV Ἀφροδίτη] ἀφροδίτης R 20 αὐτὴν τὴν κόρην] om. J[1], αὐτὴν κόρην Gaulm.

Χάρισι, σὺν αὐταῖς Ἡδοναῖς μεταβιβάζον μου περὶ τὴν
ψυχήν.
13 Καὶ μετὰ πολυτελεῖς τὰς τροφὰς καὶ πόσεις καὶ
τἆλλ᾽ ὁπόσα κοσμοῦσι συμπόσια κατελύετο τὸ συμπόσιον·
καὶ πατὴρ ἐμὸς Θεμιστεὺς καὶ μήτηρ Διάντεια Σωσθένην
καὶ Πανθίαν καὶ τὴν καλὴν Ὑσμίνην ἐπὶ τὸ δωμάτιον
ἄγουσιν, ὃ τούτοις ἀφώριστο· καὶ οὕτως ἀπ᾽ ἀλλήλων
ᾠχόμεθα, μητρὸς ἐμῆς Διαντείας περιπλακείσης τῇ κόρῃ
2 καὶ φιλημάτων πληρωσάσης τὸ πρόσωπον. Ἐγὼ δ᾽ ἀλλ᾽ 210
ἐφθόνουν τὴν μητέρα καὶ τὴν φύσιν νὴ τοὺς θεοὺς ἐζήτουν
ἀλλάξασθαι· ἐπεὶ δὲ τοῦτο μὴ παρῆν, τὰ χείλη τῆς
μητρὸς κατεφίλησα καταφιλῶν τεχνικῶς τῆς κόρης τὸ
πρόσωπον, καὶ εἶχον τὴν μητέρα καθυπουργοῦσαν εἰς ἔρωτα
3 καὶ μετακομίζουσάν μοι φιλήματα. Περὶ μὲν οὖν δὴ
πατρὸς ἐμοῦ καὶ μητρὸς ἀκριβῶς οὐκ οἶδα πῶς περὶ τὴν
παρθένον εἶχον καὶ πῶς αὐτῆς ἀπηλλάττοντο· ἐγὼ δὲ
μόνοις ἀπεσπώμην ποσί· τὴν γάρ μοι ψυχὴν καὶ <τὸν>
ὀφθαλμὸν καὶ τὸν νοῦν ὡς παρακαταθήκην ἀφῆκα τῇ
κόρῃ καὶ οἷον ἐχέγγυον.

1 Χάρισι] χερσίν V σὺν αὐταῖς] om. X[2] Ἡδοναῖς] om. X μεταβιβάζον] μετεβίβαζόν R, καταβιβάζον O μου] με J, μὲν V, om. κ τὴν] om. G 3 τὰς] om. R 5 καὶ μήτηρ] om. F[1] Σωσθένην] τὸν σωσθένην JV 6 Πανθίαν] τὴν πανθίαν J τὴν] om. ε (praeter B) ἐπὶ] περὶ V 7 ὃ] ᾧ δ (praeter B) 8 περιπλακείσης] λαβούσης B τῇ κόρῃ] τὴν κόρην BV[1] 9 πληρωσάσης τὸ πρόσωπον] om. O 9 ἐγὼ — 13 πρόσωπον] om. K 10 τὴν φύσιν νὴ τοὺς θεοὺς GJκ, τῇ φύσει νὴ τοὺς θεοὺς R, νὴ τοὺς θεοὺς τὴν φύσιν Vε ἐζήτουν] ἐδόκουν R 14 καὶ] om. ε (praeter B) μετακομίζουσάν] διακομίζουσάν B μοι] με R οὖν δὴ] δὴ BG, δὴ τοῦ JV 15 ἀκριβῶς οὐκ οἶδα] ἀκριβῶς οὐκ εἶδον JR, ἀκριβῶς οὐκ εἶχον V, οὐκ οἶδα N, οὐκ οἶδ᾽ ἀκριβῶς Gaulm. περὶ] παρὰ Gaulm. 16 δὲ] γε G 17 μόνοις Gε, μόνος JKVR ἀπεσπώμην] ἀπεσώμην B, ἀπεσπόμην η, κατεσπώμην J, κατειπόμην V, ἀπεπόμην K μοι] μου Gaulm. <τὸν> scripsi, om. α, τοὺς Hercherus 18 ὀφθαλμὸν GJKOVR, ὀφθαλμὸς P, ὀφθαλμοὺς rell. ὡς] ὥσπερ V, καὶ P.

14 Καὶ περὶ τὴν κλίνην γενόμενος μυρίοις κατετυραννούμην τοῖς λογισμοῖς, τὴν ψυχὴν ἐπολιορκούμην καὶ τῶν
2 ὀφθαλμῶν ἡρπαζόμην τὸν ὕπνον ὡς λάφυρον. Τὴν Αὐλίκωμιν τῆς φιλοξενίας ἐθαύμαζον, ἣ καὶ μέχρι ποδῶν ἐκτείνει τὸ ξένιον· "παρ' ἡμῖν δ' οὐδὲ μέχρι χειρῶν, οἷς
3 βωμὸς Ξενίου Διός, οἷς ἑορτὴ τὰ Διάσια. Ἵνα τί γὰρ μὴ κἀγὼ τοὺς πόδας πλύνω τῆς κόρης, ὡς αὐτὴ τοὺς ἐμοὺς φιλοτίμως κατέπλυνεν, ἵνα κατ' ἐκείνην φιλήσω καὶ θλίψω κἀγὼ καὶ καταμαλθακίσω ταύτην ἐρωτικῶς ὅσα με τότε κατεμαλθάκισεν;"

4 Οὕτω κατετυραννούμην ἐξ ἔρωτος, καὶ τὸ πολὺ τῆς νυκτὸς λογισμοῖς παρεμετρούμην ἐρωτικοῖς· καὶ ὕπνον εἶχον καὶ ἡδονὴν τὸ περὶ τὴν κόρην ἀγρύπνως διασκοπεῖν. Ἀλλ' ὁ κόπος εἰς ὕπνον ἀνθεῖλκε τοὺς ὀφθαλμούς, καὶ ἦν ἀγὼν παρ' ἐμοὶ καὶ κόπου καὶ ἔρωτος· οἱ δ' ὀφθαλμοί
5 μου μέσον ὡς πόλις πολιορκουμένη. Ὁ μὲν οὖν βαρὺς κόπος τὸν ὕπνον ὡς ἐκ μηχανῆς τινος ἐπὶ τοὺς ὀφθαλμοὺς ἠκροβόλιζεν, ὁ δ' ἔρως ταῖς ἀλλεπαλλήλοις τῶν ἐννοιῶν

2 τοῖς λογισμοῖς] τοῦ λογισμοῦ P τὴν] καὶ τὴν κ 3 ἡρπαζόμην] ἀφηρπαζόμην J 4 ἣ] ἦ CM, om. G 5 ἐκτείνει] ἐπεκτείνει δ (praeter B) οὐδὲ] οὐ Gε (praeter κ) χειρῶν] spatium 4 litt. V οἷς] παρ' οἷς κ 6 sq. μὴ κἀγὼ] κἀγὼ μὴ BGJKR 7 τοὺς πόδας πλύνω] τοὺς πόδας ἐκπλύνω B, τοὺς πόδας ἀποπλύνω G, πλύνω τοὺς πόδας ε 7 sq. τοὺς ἐμοὺς φιλοτίμως] τ. ἐ. τότε φ. κ, τοῖς ἐμοῖς φιλοτίμως M, φιλοτίμως τοὺς ἐμοὺς K 8 ἵνα] ἵνα τί μὴ ε (praeter B) 8 sq. καὶ θλίψω κἀγὼ] κἀγὼ καὶ θλίψω β 9 καταμαλθακίσω] καταμαλακίσω J 10 τότε] τότε αὐτὴ B κατεμαλθάκισεν] κατεμαλάκισεν J 12 παρεμετρούμην] κατεμετρούμην κ ἐρωτικοῖς] ἐρωτικῶς ζ 13 εἶχον] om. JV τὸ] τὰ F ἀγρύπνως διασκοπεῖν] διασκοπεῖν ἀγρύπνως Vε (praeter B) 15 ἐμοὶ] ἡμῖν J κόπου καὶ ἔρωτος] κόποι καὶ ἔρωτες R 16 πολιορκουμένη] πολιορκούμενοι G^{2}JKRκ βαρὺς] βραχὺς JV 17 τὸν ὕπνον] τῶν ὕπνων V ἐπὶ] περὶ J 18 ὁ δ'] ἀλλ' V ταῖς] τοῖς GJ ἀλλεπαλλήλοις] ἀλλεπαλλήλαις ζ, ἀλλεπαλλήλους NO, ἀπ' (sic) ἀλλήλοις B, ἐπ' ἀλλήλαις V ἐννοιῶν] ἐνιῶν R.

ὅλους καταφραξάμενός μου τοὺς ὀφθαλμοὺς πρὸς τοὺς ἀκροβολισμοὺς ἀπεμάχετο, καὶ κόπος μετὰ πολλὰς κονί- 211
στρας ἐκράτησε καὶ τὴν νίκην ὑπέκλεψεν, ὡς ἐξ ὀπῆς τινος ὕπνον λεπτὸν τοῖς ὀφθαλμοῖς ἐμβαλών.

15 Περὶ δέ τρίτην φυλακὴν τῆς νυκτὸς πατὴρ ἐμὸς
6 Θεμιστεὺς καὶ μήτηρ Διάντεια σὺν Σωσθένει καὶ Πανθίᾳ καὶ ὅσοι τούτοις ἐξ Αὐλικώμιδος εἵποντο περὶ τὸν βωμὸν σὺν αὐτοῖς ἐγένοντο θύμασι, θύσοντες Σωτῆρι Διὶ καὶ τὰ πρόσφορα λειτουργήσοντες· Ὑσμίνη δὲ μόνη περὶ τὸ δωμάτιον καταλέλειπται, ὅτι μηδὲ προσῆκον παρθένοις
2 ἀνδρῶν ἐναντίον χωρεῖν. Ἐγὼ δ' (οὐδὲ γὰρ ἠγνόησα τὸ γινόμενον) περὶ τὴν κλίνην ἐγενόμην τῆς κόρης εὐθὺς καὶ κοιμωμένην αὐτὴν κατεφίλησα, ἡ δ' ἐκπλαγεῖσα τῷ παραδόξῳ τοῦ πράγματος τῆς στρωμνῆς ἀνεπήδησε "βαβαὶ
3 τοῦ θαύματος" λέγουσα. Κἀγὼ συνέσχον εἰπὼν "μὴ δέδιθι, δέσποινα· Ὑσμινίας ἐγώ·" καὶ λέγων πάλιν ἐφίλησα. Ἡ δ' "ἀλλὰ ποῦ μοι πατὴρ καὶ μήτηρ;" ἐζήτει μαθεῖν· ἐγὼ δ' "εἰς βωμὸν Ξενίου Διός, ὡς θύσωσιν" εἴρηκα·
4 "ἡμεῖς δ' οὐ θύσομεν Ἔρωτι; Θύσομεν πάντως καὶ

1 ὅλους — 2 ἀκροβολισμοὺς] om. N 1 καταφραξάμενός] καταφλεξάμενός V, καταφρευμενός O μου] om. G ὀφθαλμοὺς] λογισμοὺς κ πρὸς] περὶ JV 2 ἀκροβολισμοὺς] ὀφθαλμοὺς J ἀπεμάχετο] ἀντεμάχετο κ κόπος] κόπου K, κῆπος P πολλὰς] πολλῆς Teucherus 3 ὑπέκλεψεν] ἀπέκλεψεν (ἀπέβλεψεν O) δ 4 ὕπνον λεπτὸν] τὸν ὕπνον B 5 τρίτην] τὴν τρίτην Jδ (praeter ι) 6 σὺν] σὺν καὶ η (praeter κ) 7 καὶ R, τοῖς G, καὶ τοῖς ἄλλοις λ, καὶ τοῖς rell. ὅσοι GJ, ὅσαις R, ὅσοις Vδ τούτοις] τοῖς Aκ ἐξ] ἐπ' B βωμὸν] νεὼν V 8 θύσοντες] θύσαντες . καὶ] om. V 9 λειτουργήσοντες] λειτουργήσαντες V δὲ] δέ μοι ζ 10 μηδὲ] καὶ μὴ δὲ J, οὐ Gaulm. (μὴ Hercheri exemplum) 11 ἀνδρῶν ἐναντίον] ἐναντίον ἀνδρῶν G οὐδὲ] οὐ η (praeter B) 12 γινόμενον] γενόμενον JN 14 πράγματος] θαύματος BG ἀνεπήδησε GVη (praeter κ), ἀπεπήδησε rell. 15 συνέσχον] συνέσχον αὐτὴν V 16 λέγων πάλιν] πάλιν λέγων JKV, λέγων η (praeter κ) 17 μοι] om. B, μοι καὶ θμ 18 Ξενίου] σωτῆρος V[2] θύσωσιν] θύσασιν K, θύσουσιν ε (praeter B) 19 1. θύσομεν] θύσωμεν R, θύομεν V 2. θύσομεν] θύσωμεν B

παρθενίαν αὐτὴν καὶ ὅλους αὐτούς.” Καὶ περιπλακεὶς
τὴν κόρην καὶ ταύτην καταφιλῶν ἀνεκεκλίμην ἐρωτικῶς.
16 Ἡ δ' ἀντεφίλει μέν, ἀλλ' ὡς παρθένος ἐξ αἰδοῦς
ὑπέκλεπτε τὰ φιλήματα. Ἐγὼ δ' ἐφίλουν ἐρωτικώτερον
καὶ τοῖς ὀδοῦσι δάκνων τροφὴν ἐτρεφόμην ἐρωτικήν, οἵαν
2 Ἀφροδίτη τοῖς ἐρασταῖς παρατίθεται. Ἡ δ' ὑπεστέναζε
λεπτὸν ἀφροδίσιον, καὶ τὸ λεπτὸν ἐρωτικὸν ὑποστέναγμα
ὅλην ἡδονὴν ἐς αὐτήν μοι μέσην ἐστάλαζε τὴν ψυχήν.
3 Ὅλην ἀνεπλεκόμην τὴν κόρην ὡς ἄμπελον, καὶ τοὺς
ὀμφακίζοντας τῶν βοτρύων ἐκθλίβων τῷ στόματι νέκταρ
ἐξερρόφουν τοῖς χείλεσιν, οἷον ἀποθλίβουσιν ἔρωτες· καὶ
τοῖς δακτύλοις ἀπέθλιβον καὶ τοῖς χείλεσιν ἔπινον, ἵνα 212
τὸ πᾶν ὡς εἰς πίθον ψυχὴν τὴν ἐμὴν ἐκθλιβῇ μοι τοῦ
4 νέκταρος· οὕτως ἀκόρεστος ἐγὼ τρυγητής. Ἡ δ' ἀντε-
φίλει καὶ κατεφίλει με καὶ κατὰ κιττὸν ἀνεπλέκετο· καὶ
οὕτως ἡμᾶς μυρίαι περιεχόρευον Χάριτες. Μετὰ γοῦν δὴ
συχνὰς περιπλοκὰς καὶ φιλήματα καὶ τἆλλ' ὁπόσα παίζειν
διδάσκουσιν Ἔρωτες, ὅλον ἐπεχείρουν καταρροφῆσαι τὸν

1 1. καὶ] om. J αὐτοὺς] αὐτοὺς F 2 τὴν κόρην] τῇ κόρῃ J καταφιλῶν] φιλῶν η (praeter κ) ἀνεκεκλίμην GKR, ἀνεκλινόμην V, ἀνακεκλιμένην θλ, ἀνακεκλίμην rell., ἀνεκλίνην Gaulm., ἀνεκλίθην Le Basius 3 παρθένος] om. JV 6 παρατίθεται] παρατίθετο B ὑπεστέναζε] ὑπεστέναξε JV, ἐπεστέναζε BX^1 7 τὸ] om. B ὑποστέναγμα] ἀποστέναγμα BGKζ 8 μοι] μου V μέσην] om. V ἐστάλαζε] ἐστάλαξε BGJ, ἐστάλλαξεν V, ἐστάλαττε Hercherus 9 ἄμπελον] ἄμπελος BR 11 ἐξερρόφουν] ἐξερρόφων JKTζ οἷον] οἵαν R 11 καὶ — 12 ἀπέθλιβον] om. O^1 12 ἔπινον] καὶ N^1, om. N^2 13 ψυχὴν τὴν ἐμὴν] ἐμὴν τὴν ψυχὴν J ἐκθλιβῇ] ἐκθλίβη B μοι] μου G 15 καὶ κατεφίλει] om. λ κατὰ] ὡς R ἀνεπλέκετο] συνεπλέκετο BV 16 δὴ] om. B 17 συχνὰς] πολλὰς καὶ συχνὰς V παίζειν] om. BG 18 ὅλον — 83, 1 ἔρωτα] om. O 18 ὅλον] ὅλως B, ἔνδον G ἐπεχείρουν] ἐπεχείρουν καὶ AF^1X^1, ἐπεχείρουν συσχεῖν καὶ X^2 καταρροφῆσαι] ἀναπληρῶσαι G.

ἔρωτα καὶ μηκέτι παίζειν ἀλλὰ σπουδάζειν ἐρωτικῶς, ὡς
μὴ κορῶναι κρώζοιεν ἐν ἀνεπιξέστῳ τῷ δώματι.

17 Ἡ δ' ἀλλὰ καὶ λίαν ἀντέτεινε καὶ χερσὶ καὶ ποσὶ
καὶ γλώσσῃ καὶ δάκρυσιν "Ὑσμινία" λέγουσα "φεῖσαι παρ-
θενίας ἐμῆς· μὴ πρὸ τοῦ θέρους ἐκτίλῃς τοὺς στάχυας·
μὴ τὸ ῥόδον τρυγήσῃς πρὸ τοῦ προκύψαι τῆς κάλυκος,
μὴ τὴν σταφυλὴν ὀμφακίζουσαν, μή πως ἀντὶ νέκταρος
2 ὄξος ἐκθλίψῃς ἐξ ὄμφακος. Σὺ θερίσεις τὸν ἄσταχυν,
ἀλλ' ὅταν λευκανθῇ σοι τὸ λήιον· σὺ τὴν ῥοδωνιὰν
ἀπανθίσεις, ἀλλ' ὅταν πεπανθὲν τὸ ῥόδον προκύψῃ τῆς
κάλυκος· σὺ τρυγήσεις τὴν σταφυλήν, ἀλλ' ὅταν τὸν
3 βότρυν ἴδῃς ὑπερπερκάσαντα. Ἐγώ σοι φύλαξ ἀκοί-
μητος, ἀπαρεγχείρητος αἱμασιὰ καὶ φραγμὸς ἀνεπίβατος.
Τί σοι κέρδος ἀποσυλῆσαί μου τὸ σεμνόν; Παρθένος ἧκον
εἰς Εὐρυκώμιδα· τί σοι κέρδος ἀπάρθενον παλινοστῆσαί

1 ἀλλὰ σπουδάζειν] om. F[1] 1 sq. ὡς μὴ] καὶ μὴ ὡς Gaulm. 2 κρώζοιεν] κρώζειεν η (praeter κ), κρώζειν Gaulm. ἐν Κζ, om. rell. ἀνεπιξέστῳ] ἀνεπίξεστα Gζθ, ἀνεπιδέξια λ, ἀνεπαίσια F[2], om. B δώματι] δώματι ἀνεπίξεστα B 3 ἡ δ'] om. J ἀντέτεινε] ἀνέτεινε J καὶ χερσὶ] om. η (praeter κ) 3. καὶ] δεξία (sic) καὶ A 5 ἐκτίλῃς BF[1], ἐκτίλλεις R, ἐκτίλλῃς rell. 5 τοὺς — 8 θερίσεις] om. G 5 στάχυας] ἀστάχυας Hercherus 6 τρυγήσῃς] τρυγήσαις J, τρυγήσεις X[2]ζ προκύψαι] κύψαι Jε (praeter B) 8 θερίσεις] θερίσῃς BNR, θερίζεις J 10 ἀπανθίσεις] ἀπανθίσῃς AFJλ, ἀπανθήσῃς BR ὅταν] ὅτε Κζ πεπανθὲν τὸ ῥόδον] τὸ ῥόδον πεπανθὲν R, τὸ πεπανθὲν ῥόδον Osannus προκύψῃ] προκύψει Κζ (προσκύψει M) 11 τρυγήσεις τὴν σταφυλήν] τὴν σταφυλὴν τρυγήσεις Gaulm. τρυγήσεις] τρυγήσῃς GJNR, τρυγήσας V ὅταν] ὅτε Jδ (praeter B) 11 sq. τὸν βότρυν ἴδῃς ὑπερπερκάσαντα] τ. β. ἴ. ὑπερκάσαντα AF[1]P, τ. β. ἴ. περκάσαντα κ, τ. β. ἴ. περκάζοντα J, τὸν βότρυν ὑποπερκάσαντα ἴδῃς V, ἴδῃς τὸν βότρυν περκάσαντα Gaulm., ἴδῃς τὸν βότρυν ὑπερπερκάσαντα Le Basius 13 ἀπαρεγχείρητος] ἀπαραχείρητος K φραγμὸς] φραγὸς P[2]T 14 ἀποσυλῆσαί] συλῆσαί V μου] με ε (praeter κ) ἧκον] ἦλθον η (praeter B) 15 εἰς Εὐρυκώμιδα] ἐξ εὐρυκώμιδος R, εἰς Εὐρύκωμιν Hercherus in adnot.

4 μ' εἰς Αὐλικώμιδα; Ἐρῶ σου, κῆρυξ, οὐχ ὑποκρύπτω τὸν
ἔρωτα· βάλλομαι τὴν ψυχήν, τὸ βέλος ὁμολογῶ· πυρ-
πολοῦμαι τὰ σπλάγχνα καὶ τὸ πῦρ οὐκ ἀρνήσομαι·
πλὴν οὐχὶ καὶ προδώσω τὰ κάλλιστα· τὴν παρθενίαν
5 φυλάξω καί σοι ταύτην παραφυλάξομαι."

18 Ταῦτ' ἔλεγεν ἡ κόρη καὶ κατὰ ποταμοὺς κατεκένου
τὸ δάκρυον. Ἐγὼ δὲ πρὸς αὐτὴν "ἐπὶ σοὶ βίβλῳ κατε-
μυήθην τὸν Ἔρωτα· διὰ σὲ δοῦλος ἐξ ἐλευθέρου γεγέ-
νημαι, διὰ σὲ Φιλίου Διὸς ἀντηλλαξάμην Ἔρωτα τύραννον. 213
2 Οὐδέν μοι πατρίς, οὐ πατήρ, οὐ μήτηρ, οὐ θησαυρός,
11 ὅν μοι πολὺν ἀπεθησαύρισεν ὁ πατήρ, οὐδ' ἄλλο τῶν
ὄντων οὐδέν· σὺν σοὶ θανοῦμαι." Καὶ περιπλακεὶς αὐτὴν
κατεφίλησα, καί μου τῶν ὀφθαλμῶν ἀπέρρει τὸ δάκρυον,
καὶ περιπλακέντες τοῖς δάκρυσιν ἐβρεχόμεθα.

19 Καὶ μεθ' ἱκανὸν Ὑσμίνη μοι τοὺς ὀφθαλμοὺς κατε-
16 φίλει καὶ φιλοῦσά φησιν "Ὑσμινία, τοῦτό σοι λοίσθιον
φίλημα· ἐγὼ γὰρ σὺν πατρὶ καὶ μητρὶ μετὰ τρίτην

1 μ'εἰς] πρὸς ε (praeter κ), εἰς V, με πρὸς Le Basius Αὐλικώμιδα] Αὐλίκωμιν Hercherus ἐρῶ σου, κῆρυξ] addunt ἐρῶ σου μ ὑποκρύπτω] ὑποκρύπτων F[1], ὑποκλέπτω V 2 τὸ] τὸ δὲ V 4 καὶ] om. JV τὰ] ἀλλὰ ε (praeter κ) κάλλιστα) μάλλιστα (sic) P[1] 5 φυλάξω — παραφυλάξομαι] φυλάξωμαι F[1] 6 κατεκένου] ἀπέρρει(—υCM)καὶ κατεκένου (καταχ—P) ε (praeter B), ἐκένου G 7 τὸ δάκρυον] τὰ δάκρυα η (praeter B) σοὶ βίβλῳ] σῇ βίβλω BK, σοὶ σύμβλω R 7 sq. κατεμυήθην] κατεμνήσθην J, κατεμηύθην λ, κατεμυήθειν F 8 διὰ — 9 τύραννον] διὰ σὲ φιλίου διὸς ἀντηλλαξάμην ἔρωτα τύραννον, διὰ σὲ δοῦλος ἐξ (ἀντ' N) ἐλευθέρου (ἐλευθερίου O) γεγένημαι ε (praeter B) 8 ἐξ ἐλευθέρου] om. V 9 Φιλίου] φίλου V, φίλος B 10 πατρίς, οὐ πατήρ, οὐ μήτηρ] πατρίς, οὐ μήτηρ V, πατήρ, οὐ μήτηρ, οὐ πατρίς N, πατήρ, οὐ πατρίς, οὐ μήτηρ ε (praeter B) 11 μοι πολὺν] πολύν μ' B ἀπεθησαύρισεν ὁ πατήρ] ὁ πατὴρ ἐπεθησαύρισεν N ἀπεθησαύρισεν] ἀποτεθησαύρη(sec. m. ι)σεν V, ἐπεθησαύρισεν Jε (praeter κ) ἄλλο] ἄλλα B 13 μου] μοι η (praeter B) ἀπέρρει] ἐπέρρει Le Basius 15 καὶ] om. Jε (praeter B) Ὑσμίνη] ἡ ὑσμίνη B, ὑσμίνου O μοι R, om. BO, μου rell. 15 sq. κατεφίλει] κατεφίλει μου B 16 σοι] μοι κ 17 γὰρ] δὲ V.

ἡμέραν παλινοστήσω πρὸς Αὐλικώμιδα· σὺ δ' ἔσῃ πρὸς
Εὐρυκώμιδα πατρίδα τὴν σήν, καί σοι κόρην ἑτέραν ὁ
2 πατὴρ εἰς γάμον ἀγάγηται· καὶ σὺ μὲν θύσεις τοὺς
γάμους, τῆς ἐμῆς ταύτης νῦν φίλης Ὑσμίνης λαθόμενος
καὶ φιλημάτων ἐρωτικῶν καὶ τῶν ἄλλων τούτων περι-
πλοκῶν, ὧν πάντων εἰς κενὸν ὡς ἐν ὀνείροις κατετρυφή-
3 σαμεν· ἐγὼ δ' οὐδ' εἰν Ἀίδαο λήσομαι φιλίας τῆς σῆς,
Ὑσμινία γλυκύτατε, καί σοι φυλάξω τὴν παρθενίαν ἀπα-
ρεγχείρητον· οὐδὲ γὰρ οὐδ' αὐτοῦ Διὸς φίλημα τοῖς σοῖς
κατεπιθήσω φιλήμασιν, οὐ μὰ τὸν φοβερὸν Ἔρωτα, ὅς
με ταῖς σαῖς ταύταις χερσὶν ὡς ὄρνιν παρέθετο."

20 Ταῦτ' εἶπε καὶ περὶ τὸ στέρνον τοῦτο τοὐμὸν ὅλον
κατεπιθεῖσα τὸ πρόσωπον κατέβρεχέ με τοῖς δάκρυσιν.
Ἐγὼ δὲ πρὸς αὐτὴν "Ὑσμίνη παρθένε, μέλημα ἐμόν,
φῶς ἐμῶν ὀφθαλμῶν, πηγή μοι στάζουσα μέλιτος, ὄμβρε
χαρίτων· σὺ μὲν φιλοῦσα λοίσθιον λέγεις τὸ φίλημα·
ἐγὼ δ' ὁ σὸς ἐραστὴς καὶ δοῦλος ἐξ ἔρωτος σὺν σοὶ θανοῦ-
2 μαι καί σοι τὴν παρθενίαν ἀντιφυλάξομαι· οὐκ ἀποσυλήσει

1 σὺ — 2 Εὐρυκώμιδα] om. O 1 ἔσῃ] ἔσοι R 2 Εὐρυκώμιδα] Εὐρύκωμιν Hercherus πατρίδα] ταύτην πατρίδα V, om. Gaulm. σοι] σε B 3 γάμον] γάμους N ἀγάγηται] ἀγάγεται Jε (praeter κ) θύσεις] θύσαις J, θήσῃ V 4 τῆς] τῆς δ' B ἐμῆς ταύτης νῦν φίλης] ἐμῆς νῦν φίλης, ταύτης δ' F^{2}, ἐμῆς φίλης ταύτης η (praeter B), ἐμῆς ταύτης GV, σῆς φίλης ταύτης Hercherus λαθόμενος] ἐπιλαθόμενος κ 5 sq. περιπλοκῶν] ἐρωτικῶν G^{1}, ἐρωτικῶν περιπλοκῶν V 6 ὧν] ὡς P κενὸν] καινὸν R 6 sq. κατετρυφήσαμεν] ἐνετρυφήσαμεν B 7 οὐδ' εἰν Hercherus, οὐδὲν J, οὐδ' ἐν rell. 9 οὐδ'] om. KR αὐτοῦ] αὐτὸ V 10 κατεπιθήσω] προσεπιθήσω B 11 με] μοι B ταύταις χερσὶν] χερσὶν ταύταις R 12 περὶ] παρὰ Gaulm. τοῦτο] om. X^{2} ὅλον] om. F^{1}G 13 με] μου ε (praeter Pκ) τοῖς] τὸ πρόσωπον τοῖς η (praeter X^{2}κ) 14 παρθένε] λέγων V 15 στάζουσα] πηγάζουσα B 17 καὶ — 17 sq. θανοῦμαι] om. X 18 καί — ἀντιφυλάξομαι] om. Gaulm. σοι] σὺ V^{1}, ὅσοι P, om. K ἀντιφυλάξομαι] ἀντιφυλάξωμαι CM, φυλάξομαι O, φυλάξω K ἀποσυλήσει] ἀποσυλήσῃ (corr. ex ἀποσυλήσας) V, ἀποσυλήσω KR, ἀποσυληθήσῃ Hercherus.

ταύτην, οὐκ ἐξουσία πατρός, οὐ μητρὸς πειθώ, οὐδ' εἰ τὴν Ἀφροδίτην ἀγάγωνται, οὐ μὰ Δία, πατέρα πάντων θεῶν, οὗ κῆρυξ ἧκον εἰς Αὐλικώμιδα, πατρίδα τὴν σήν, 214
καὶ δοῦλος τῶν σῶν χαρίτων εἰς τὴν ἐμὴν ταύτην Εὐρύ-
3 κωμιν ἀνθυπέστρεψα." Καὶ δὴ τῆς ἡμέρας διαγελώσης
καταφιλήσας τὴν κόρην ἐξῆλθον τοῦ δωματίου καὶ περὶ τὴν ἐμὴν ἐγενόμην κλίνην ὡς ἐν ὑποπτέρῳ ποδὶ καὶ τοῖς ὕπνοις ἐσπεισάμην εὐθύς, ὡς εἰ περὶ τὴν κλίνην εὗρον αὐτούς.

1 ταύτην] ταύτῃ Teucherus μητρὸς] μὴ πρὸς O πειθώ] πειθὼ ἐς γάμον ἀγάγωνται Le Basius εἰ] ἢν Ludovicus Schwidopius in Observv. Lucianeis p. 11 2 Ἀφροδίτην] ἀφρ. ἐς (εἰς N) γάμον ε (praeter B) ἀγάγωνται] ἀγάγονται BJKVζ, ἀγάγοιται R, ἄγονται G, ἀνάγωνται N Δία] τὸν δία V 2 sq. πάντων θεῶν] θεῶν πάντων η (praeter B) 3 οὗ] ὧν Aζλ, οὗτινος G Αὐλικώμιδα] Αὐλίκωμιν Hercherus 4 δοῦλος τῶν] τῶν δᾶλος (sic) F[1], δούλη τῶν P[2]T, δοῦλος λ ἐμὴν ταύτην] om. V 8 ἐσπεισάμην] ἠσπασάμην B ὡς εἰ] ὡσεὶ Vε εὗρον] εὑρὼν V.

1 Ὁ μὲν οὖν ἐμὸς πατὴρ Θεμιστεὺς σὺν Σωσθένει
καὶ μητράσιν ἡμῶν ἐπανῆκον ἐκ τοῦ βωμοῦ Ξενίῳ Διὶ
τὰ πρόσφορα θύσαντες· καί μοι Διάντεια μήτηρ περὶ
τὴν κλίνην γενομένη τὴν ἐμὴν ἐξυπνίζει με λέγουσα
"τέκνον Ὑσμινία, καιρὸς ἀρίστου, σὺ δ' οὐκέτι τὸν ὕπνον
ἀπώσῃ τῶν ὀφθαλμῶν; ἀνάστηθι καὶ περὶ τὸ δεῖπνον
2 γενώμεθα· ὁ σὸς γὰρ πατὴρ ἀνακέκλιται σὺν Σωσθένει
καὶ τοῖς ὅσους τὸ δεῖπνον καλεῖ." Σὺν αὐτῇ γοῦν μητρὶ
περὶ τὴν τράπεζαν γεγονὼς συνήθως ἀνακεκλίμεθα· καὶ
πάλιν Ὑσμίνη μοι κατὰ μέτωπον ὅλον τοῖς ὀφθαλμοῖς
3 ἀποστάζουσά μοι τὸν ἔρωτα. Ἐγὼ γοῦν ἀτενῶς τὴν κόρην
ἰδὼν καὶ περὶ τὴν τράπεζαν κεκυφὼς αὐτὴν προσεκύνησα,
καθυποκλέπτων ἐρωτικῶς τὸ προσκύνημα· ἡ δ' ἀν-
θυπέκλεψεν, ὡς εἰκός, τὸν τράχηλον παρθενικῶς ὑποκλίνασα.

1 ἐμὸς πατὴρ] πατὴρ ἐμὸς Gaulm. σὺν] σὺν τῷ R 2 ἡμῶν] ἡμῖν V ἐπανῆκον] ἐπανήκων ζ, ἐπανῆκεν Teucherus 3 περὶ] om. X, παρὰ Gaulm. 4 κλίνην γενομένη τὴν ἐμὴν] ἐμὴν γενομένη κλίνην ε (praeter B) 6 τῶν] om. F^1 τὸ] τὸν O 7 ὁ RV, om. rell. σὸς] σοι V γὰρ] om. G πατὴρ] πατὴρ θεμιστεὺς β σὺν] σὺν τῷ R, om. B 8 ὅσους AFGJ, ὅσοις rell. τὸ] om. F καλεῖ] καλοῖς Gaulm. γοῦν] γοῦν τῇ VR 9 γεγονὼς] γεγονότες Le Basius 10 μοι] μου η ὅλον] om. V 11 ἀποστάζουσά μοι τὸν ἔρωτα] τὸν ἔρωτα στάζουσα B ἀποστάζουσά] ἐναποστάζουσα λ μοι] ἐμοι AFλ, om. T 13 καθυ-ὑποκλέπτων — προσκύνημα] om. AF^1λ 14 ὡς εἰκός] ἐρωτικῶς V ποκλίνασα] ὑποκλύψασα (λ expunctum) V.

Τροφαῖς πολυτελέσιν ἡ τράπεζα συνήθως κατακεκόσμηται,
καὶ Κρατισθένης κιρνᾷ. Σωσθένης προπίνει, Θεμιστεὺς
2 μετ' αὐτόν, καὶ συνήθως ἡμεῖς. Καὶ ὁ Σωσθένης φησὶ
"σὺ μὲν ἡμᾶς φιλοφρονούμενος, Θεμιστεῦ, Ξενίῳ Διὶ τὴν 215
φιλοφροσύνην, οὐχ ἡμῖν ἀφωσίωσας· καί σε τῆς οὕτω
λαμπρᾶς τραπέζης καὶ τῆς ἄλλης πολυτελοῦς δεξιώσεως
Ζεὺς πατὴρ ἀντιδεξιώσαιτο, φιλότιμόν σοι δεῖπνον ἑτοι-
μασάμενος ἐν Ἠλυσίῳ πεδίῳ καὶ μακάρων νήσῳ, συνανα-
2 κεκλιμένῳ τοῖς ἥρωσιν. Ἐγὼ δέ σε καταδυσωπῶ σὺν
ἡμῖν γενέσθαι πρὸς τὴν ἡμετέραν Αὐλίκωμιν, σὺν αὐτῇ
Διαντείᾳ καὶ τῷ καλῷ τούτῳ κήρυκι" (τῇ χειρί με παρα-
δεικνύς)· "Ὑσμίνης γὰρ ταύτης τῆς ἐμῆς φίλης παιδὸς
3 θῦσαι τοὺς γάμους βουλόμεθα. Καιρὸς δ' ἡμῖν τῆς τῶν
γάμων τελετῆς ἀφωσίωται τὰ Διάσια, ἃ νῦν θύοντες
ἐπαναζεύξομεν εἰς Αὐλίκωμιν, εἰ δοκεῖ Σωτῆρι Διί. Παῖς
δ', ᾧ τὰ τῆς ἐμῆς ταύτης Ὑσμίνης λέκτρα προσαφωσίωται,
συμπατριώτης ἐξ Αὐλικώμιδος ὑπερχειλῆ τὸν τῆς εὐδαι-
4 μονίας τριπλοῦν κρατῆρα κεκερακώς· τὰς μὲν δὴ ψυχικὰς
ἀρετὰς ἀπαράμιλλος, τὰ δὲ περὶ τὸ σῶμα πρὸς τὴν
ψυχὴν ἐρίζει καὶ φιλονεικεῖ μὴ δεύτερα φαίνεσθαι· τὰ
δ' ἐκτὸς τῇ ψυχῇ καὶ τῷ σώματι συγκέχυται καὶ οἷον

1 κατακεκόσμηται] κατακεκόσμητο GJR, κατεκεκόσμητο KV 2 Κρατισθένης Le Basius, καλλισθένης α προπίνει] προπίνει καὶ κ 3 ἡμεῖς] ἡμᾶς (ὑμᾶς M) ζ 4 Θεμιστεῦ] θεμιστεύς V 5 φιλοφροσύνην] χάριν κ οὐχ] οὐ γὰρ AF[1]λ 6 τραπέζης] om. BV τῆς ἄλλης] om. B 7 φιλότιμόν — 7 sq. ἑτοιμασάμενος] om. B 8 μακάρων] μακαρίων F[1] νήσῳ] ἴσω M, χώρα B 8 sq. συνανακεκλιμένῳ] συνανακεκλιμένον B 9 ἥρωσιν] καὶ πίνων τοῦ νέκταρος addit B σὺν] καὶ σὺν V 10 πρὸς] περὶ B 12 ταύτης τῆς ἐμῆς BGJKR, ἐμῆς ταύτης V, τῆς ἐμῆς ταύτης ε, ταύτης ἐμῆς Gaulm. (D) 13 τῆς] om. OV 14 νῦν] δὴ G, νῦν δὴ Le Basius 15 ἐπαναζεύξομεν] ἐπαναζεύξωμεν B εἰς Αὐλίκωμιν] om. BV 16 ᾧ] ᾧ γε AFλ, ὅπω P[2]T, ὁ Rζ, ὃς B Ὑσμίνης] παιδὸς B 17 ὑπερχειλῆ] ὑπερέχει Gaulm. τῆς] om. P 20 δεύτερα] δεύτερον V, δεύτερος B 21 1. καὶ] om. V τῷ] om. λ συγκέχυται Hercherus, qui in adnot. ξυγκέχυται legi iubet, συγχεῖται G, συναναχεῖται JKVRζκ, συνεκχεῖται η.

5 συγκέκραται. Τοιοῦτον ἐγὼ τὸν γάμον τῇ φίλῃ μου ταύτῃ
παιδὶ καὶ Ζεὺς πρότερον ἀφωσίωσεν· εἰ δέ μοι καὶ σὺ
συνεκπλεύσεις εἰς Αὐλικώμιδα σὺν Ὑσμινίᾳ καὶ τῇ τούτου
6 μητρί, εὐτυχεστέρους τοὺς γάμους ἡγήσομαι." Ὁ δ' ἐμὸς
πατὴρ Θεμιστεὺς "νῦν Διὸς" φησὶ "τράπεζα καὶ Διασίων
καιρός, καὶ τῷ καιρῷ καὶ τῇ τραπέζῃ τὰ πρόσφορα θύσω-
μεν· τὰ δ' ἄλλα Διὸς ἐν γούνασι κεῖται."

3 Ταῦθ' ὁ Σωσθένης, ταῦθ' ὁ πατήρ· ἐγὼ δὲ νὴ τοὺς
θεοὺς ὅλῳ τῷ νῷ τὴν αἴσθησιν συναφήρημαι, καὶ ἤμην
ὡς ἀνδριὰς ἐπὶ τῆς τραπέζης καθήμενος, τοὺς ὀφθαλμοὺς
2 ἔχων ἀτενῶς ἐπὶ τὸ τῆς κόρης βλέποντας πρόσωπον· ἡ
δὲ παρθένος δακρύων πληρωθεῖσα τοὺς ὀφθαλμοὺς καὶ 216
παρειὰν συλλαβοῦσα τὴν δεξιὰν συνέσπασε τὰς ὀφρῦς καὶ
πικρὸν ὑπεστέναξε καὶ πρὸς τὴν Πανθίαν φησὶ "μῆτερ,
ἀλγέω τὴν κεφαλήν". Ἡ δὲ πρὸς αὐτὴν "γενοῦ περὶ τὸ

1 συγκέκραται] συνανακέκραται B, συγκέκαρται P[2] τὸν γάμον] om. V μου GV, μη (sic) P, μοι rell. 2 παιδὶ] παιδὶ τὸν γάμον V δέ] γοῦν κ 3 συνεκπλεύσεις] συνεκπλεύσαις BJ, συνεκπλεύσῃς η Αὐλικώμιδα] Αὐλίκωμιν Hercherus Ὑσμινίᾳ] ὑσμινίῳ θ, ἰσμινίῳ ζ, ὑσμίνῃ BK 4 τοὺς γάμους ἡγήσομαι R, ἡγοῦμαι τούτους B, ἡγοῦμαι τοὺς γάμους rell. δ' ἐμὸς] δ' ἐμοὶ B, δέ μοι V 5 Διὸς — 6 καιρός] καιρὸς διασίων, φησί, καὶ διὸς τράπεζα B 6 2. καὶ] om. B 6 sq. θύσωμεν] θύσομεν J 7 τὰ — 8 Σωσθένης] om. λ 7 ἐν] om. V 8 ταῦθ' ὁ Σωσθένης] om. B 9 τῷ] om. Jε (praeter B) τὴν] καὶ τὴν X[2], om. Gaulm. (D) 10 τοὺς] ἀναίσθητος τοὺς B, καὶ τοὺς η, ὅλος ἀναίσθητος, τοὺς Gaulm., ὅλος ἀναίσθητος καὶ τοὺς Hercherus 11 ἔχων ἀτενῶς] εἶχον ἀτενῶς V, ἀτενῶς ἔχων A βλέποντας πρόσωπον] βλέποντα πρόσωπον R, πρόσωπον βλέποντας J 12 πληρωθεῖσα] πλησθεῖσα BG 13 παρειὰν — συνέσπασε] om. F[1] παρειὰν] τὴν παρειὰν X[2] τὴν δεξιὰν] τῇ δεξιᾷ Gλ συνέσπασε κ, συνέπαισε R, συνέκαμπτε G, συνέσπακε JKV, ξυνέσπα καὶ ζ, συνέσπα τοὺς ὀφθαλμοὺς καὶ θλ (om. F[1]), συνέσπα Le Basius ὀφρῦς] ὀφρύας Hercherus 14 πικρὸν] μικρὸν? Hercherus ὑπεστέναξε BR, ὑπεστέναζε rell. μῆτερ] γλυκεῖα μῆτερ κ, post spatium 3 litt. μιρῶν V 15 ἀλγέω] ἀλγῶ Hercherus.

3 δωμάτιον." Εὐθὺς οὖν ἐξανέστη τῆς τραπέζης καὶ περὶ τὸ δωμάτιον γέγονεν. Ἡ γοῦν μοι μήτηρ πρὸς τὴν Πανθίαν φησὶ "τίς τὴν καλὴν ταύτην κόρην ἐβάσκηνεν;" ἡ δ' "ἡ γλῶσσα" φησὶ "τοῦ πατρός, ὅτι γάμων ἐμνήσθη τῆς θυγατρός, οὓς μέχρι καὶ εἰς δεῦρο μὴ μαθεῖν τὴν κόρην ἐφυλαττόμεθα· παρθένος γάρ ἐστι καὶ σεμνή."

4 Τὰ δ' ἐφεξῆς τῆς τραπέζης ἀναισθήτως εἶχον· ὡς γὰρ ἔκ τινος ἀστραπηβόλου σκηπτοῦ τῶν τοῦ Σωσθένους ῥημάτων ὅλην ἀπερράγην τὴν κεφαλήν. Εἰ μὲν οὖν ἔφαγον,
2 νὴ τὴν φοβερὰν τοῦ Σωσθένους οὐκ οἶδα φωνήν. Ὁ δὲ καλὸς Σωσθένης ὁ παρ' ἡμῖν τὸν γάμον κηρύσσων τῆς θυγατρὸς καὶ πάλιν φησὶν "ἱκανῶς τῆς τραπέζης ἡμῖν, Θεμιστεῦ, ἅλις τοῦ πότου καὶ τῶν περὶ τὴν τράπεζαν ποικίλων τροφῶν· εἰ δὲ βούλει, καὶ περὶ τὸν ὕπνον γενώμεθα· ἡ γὰρ δὴ νὺξ καὶ πάλιν ἡμᾶς συγκαλεῖται περὶ τὸν βωμὸν καὶ τὰ θύματα."

5 Οὕτως οὖν κατελύετο τὸ συμπόσιον, κἀγὼ τῇ συνήθει μοι κλίνῃ συνήθως ἀνακλιθεὶς ὅλους εὐθὺς ἡρπα-

1 δωμάτιον] δωμάτιον, θύγατερ κ τραπέζης] τραπέζης ἡ κόρη κ περὶ] παρὰ Gaulm. 3 ταύτην κόρην] κόρην ταύτην ζ, κόρην V ἐβάσκηνεν] ἐβάσκανεν ε (praeter BX²) 4 φησὶ] om. N τοῦ] τοῦ ταύτης κ πατρὸς] μητρὸς P γάμων] γάμον R 5 θυγατρός] κόρης β οὓς] οἷς P μέχρι καὶ εἰς δεῦρο] δεῦρο καὶ μέχρι V καὶ] om. N εἰς R, ἐς BG, om. rell. 6 παρθένος] ἔτι παρθένος AFλ 7 τὰ] τὸ B ἐφεξῆς] ἐφεξῆς ὁποῖα N¹ ἀναισθήτως] ἀνεπαισθήτως (pr. m. ἀναιπ —) V 9 ἀπερράγην R, ἀπεταράχθην V, ἀπερράχθην BGK, ἀπηρράχθην J, ἀπηράχθην ε ἔφαγον] ἔφαγον, ἀκριβῶς κ, ἔφαγον, οὐκ οἶδα N 10 φοβερὰν] βορεὰν P οὐκ οἶδα φωνήν] οὐκ εἶδον φωνήν V, φωνὴν οὐκ οἶδα B, φωνήν N 11 τὸν γάμον κηρύσσων] κηρύσσων τὸν γάμον V 12 τῆς τραπέζης ἡμῖν] ἡμῖν τῆς τραπέζης B 13 Θεμιστεῦ] θεμιστεῦς (sic) R 14 τροφῶν] τρυφῶν ε (praeter N) δὲ βούλει Hercherus, βούλη δὲ J, βούλη B, βούλει δὲ rell. 15 δὴ] om. B καὶ πάλιν] om. G 16 τὸν βωμὸν] τοὺς βωμούς K 18 μοι] om. η (praeter B) ὅλους] ὅλως F²R, ὅλοις ε (praeter μ) 18 sq. ἡρπαζόμην] ἠσπαζόμην (ἐσπειζόμην N, ἐπισπόμην X²) ε (praeter B).

ζόμην παρὰ τῶν ὕπνων τοὺς ὀφθαλμοὺς καὶ ἤμην ὑπνῶν,
τῷ παραδόξῳ τὴν ψυχὴν καταθορυβηθεὶς τοῦ ἀκούσματος
2 καὶ ὅλον τῇ θλίψει τὸν νοῦν καταβαπτισθείς. Πάλιν οὖν
ὁ συνήθης τῶν θυμάτων καιρός, καὶ πάλιν Θεμιστεύς μοι
πατὴρ καὶ μήτηρ Διάντεια σὺν Σωσθένει καὶ Πανθίᾳ περὶ
τὸν βωμὸν διανυκτερεύουσι· καὶ πάλιν ἐγὼ κλίνης ἀναστὰς
τῆς ἐμῆς περὶ τὴν κλίνην ἥκω τῆς κόρης, ἣν ὁ καλὸς
Σωσθένης εἰς τὴν Αὐλίκωμιν ἐνυμφεύσατο, καὶ πάλιν τὴν 217
3 κόρην φιλῶ. Ἡ δ' ὅλην τὴν στρωμνὴν καταβρέχει τοῖς
δάκρυσιν· ἐγὼ δὲ πάλιν φιλῶ λέγων "Ὑσμίνη, τί πάσχεις;" ἡ δ' "ἡ γλῶσσα" φησὶ "τοῦ πατρός μ' ἀπόλλυσιν."

6 Ἐγὼ δὲ πρὸς αὐτὴν "σὺ τὰ περὶ τὸν ἐμὸν ἐνωπτρίζου γάμον καὶ κόρην ἑτέραν κατεμνηστεύου μοι· καὶ ἀμνηστίας ἐκρινόμην σοι τῶν πολλῶν τούτων ἐρωτικῶν
2 χαρίτων, ὧν ὑπεργειλές μοι κεκέρακας τὸ ποτήριον· ἐγὼ

1 παρα τῶν ὕπνων] περὶ τῶν ὕπνων K, τῶν ὕπνων BGVR, τὸν ὕπνον F^{2}, om. ε, παρὰ τὸν ὕπνον Teucherus τοὺς ὀφθαλμοὺς] τοῖς ὀφθαλμοῖς ε (praeter X^{2}κ) 2 τοῦ ἀκούσματος] τοῖς ἀκούσματος μ (τοῖς ἀκούσμασι X^{2}) 3 τῇ θλίψει τὸν νοῦν καταβαπτισθείς] τὸν νοῦν τῇ θλίψει καταβαπτισθείς V, τῇ θλίψει βαπτίσας (καταβαπτίσας X^{2}) τὸν νοῦν λ, τῇ θλίψει τὸν νοῦν ζθ, τὸν νοῦν καταβαπτισθείς B οὖν] om. N 4 συνήθης] σωσθένης ATζ, om. F^{1}Vλ πάλιν] om. V^{1} Θεμιστεὺς] πατὴρ θεμιστεὺς V 5 περὶ] ἐπὶ R, παρὰ Gaulm. 6 διανυκτερεύουσι] ἐπινυκτερεύουσι BG, διανυκτεροῦσι ζ 6 sq. ἀναστὰς τῆς ἐμῆς] τῆς ἐμῆς ἀναστὰς ε (praeter B) 7 περὶ] παρὰ R ἣν] ἣν γὰρ F^{1} 8 τὴν PRθλ, αὐτὴν rell. 9 τὴν] om. λ 10 φιλῶ λέγων scripsi, λέγων φιλῶ GJKR, λέγω φιλῶν Vε 11 φησὶ τοῦ πατρός] τοῦ πατρός φησι λ μ'] ἥ μ' V 13 τὰ] om. V τὸν ἐμὸν] τῶν ἐμῶν GJKVRκ, τῶν T, τὸν A 13 sq. ἐνωπτρίζου] ἐνωτίζου ε (praeter κ), ἐνοπλίζου V 14 γάμον] γάμων GJKOVRκ μοι] om. AF^{1} 15 ἀμνηστίας] ἀμνηστείας ε (praeter B), ἀναμνησίας Gaulm. (D), ἀναμνηστείας Le Basius 15 sq. ἐρωτικῶν χαρίτων] ἐρωτικῶς χαρίτων V, χαρίτων ἐρωτικῶν ε (praeter B) 16 κεκέρακας, τὸ] κεκέρακες τὸ RX^{2}, κεκέρακες X^{1}, κεκεράκεστο O, κεκέραστο F^{1}N, κεκέρακε τὸ ATζ.

δ' ἀλλ', ὦ γλυκυτάτη παρθένε, γλυκυτέρα καὶ μέλιτος, θεούς σοι διεμαρτυράμην αὐτοὺς μὴ καταψεύσασθαί σου τὸν ἔρωτα, μὴ καταπροέσθαι σου τὴν φιλίαν, μηδ' ὁτιοῦν
3 τῶν ὄντων ἀγάπης τῆς σῆς ἀνταλλάξασθαι· ἀλλὰ νῦν σὸς πατήρ, ὁ τὰ πάντα σεμνὸς Σωσθένης, εἰς Αὐλίκωμιν ἐπήξατό σοι παστάδα, ἕδνα σοι πολλὰ προσαφώρισε, καὶ νυμφίον ἡτοίμασε, καί σε νυμφαγωγήσει λαμπρῶς, καὶ
4 φιλοτίμως νυμφοστολήσει. Ἐγὼ δ' ὁ σὸς ἐραστὴς (οὐδὲ γὰρ αἰσχύνομαί σου τὸν ἔρωτα) παρθενικῷ στεφάνῳ τὴν κεφαλὴν ἀναδήσομαι καὶ παρὰ Περσεφόνῃ καὶ τοῖς ἐν Ἅιδου φιλοτίμως καὶ πολυτελῶς νυμφαγωγηθήσομαι λαμπράν
5 μοι παστάδα πηξαμένοις παρθενικήν· σὺ δ' ἀφιλίας ἐρωτικῆς κριθήσῃ, χάρισιν ἐρωτικαῖς κατηγορουμένη καὶ στίγμασι τούτοις, ἃ πάντ' ἐξ ἐμῶν καὶ χειρῶν καὶ χειλέων
6 καθ' ὅλου φέρεις τοῦ σώματος. Καὶ σὲ μὲν Πλοῦτος κατα-

1 γλυκυτάτη] γλυκύτατε GR παρθένε] κόρη B μέλιτος] νέκταρος V 2 σοι διεμαρτυράμην αὐτοὺς] αὐτοὺς διεμαρτυράμην σοι B καταψεύσασθαί] καταστεύσασθαί R σου] om. P 4 τῶν ὄντων] om. B ἀγάπης] φιλίας V σὸς] ὁ σὸς BV 5 ὁ] om. BV τὰ πάντα σεμνὸς R, ἀγαθὸς τὰ πάντα V, τὰ πάντα B, σεμνὸς τὰ πάντα rell. 6 παστάδα] παστάδια J σοι πολλὰ] σοι πολλά σοι ζ, πολλά σοι η (praeter B) 7 σε] om. P[1]V νυμφαγωγήσει] νυμφαγωγῆσαι η (praeter κ), συννυμφογωγῆσε (sic) P (super 1. υ sec. m. ε) 8 νυμφοστολήσει] νυμφοστολίσει VR, νυμφοστολῆσαι ε (praeter κ), νυμφαγωγήσει K ὁ σὸς] ὅσος P οὐδὲ] οὐ B 9 παρθενικῷ] παρθενικῶς Fλ 10 ἀναδήσομαι] ἀναδήσωμαι V[1]λ, ἀναδύσομαι B 1. καὶ] om. Vκ παρὰ Περσεφόνῃ] περὶ περσεφόνην V Ἅιδου] ᾅδη (ᾅδει B) ε 11 νυμφαγωγηθήσομαι] νυμφαγωγήσομαι ζ 12 πηξαμένοις] πηξαμένης V, πηξάμενος B δ' ἀφιλίας] δὲ φιλίας V, δ' ἀπὸ φιλίας F[1] 12 sq. ἐρωτικῆς κριθήσῃ] κριθήσῃ ἐρωτικῆς N, κριθήσῃ G 13 ἐρωτικαῖς] ἐρωτικοῖς BTζ 13 sq. κατηγορουμένη καὶ στίγμασι τούτοις] καὶ στίγμασιν ἐρωτικοῖς κατηγορουμένη P[2]T 14 τούτοις] τούτους X ἃ πάντ'] ἅπαντ' PT, ἅπαντα V, ἃ πάντως R ἐμῶν] ἡμῶν G καὶ χειρῶν καὶ] χειρῶν καὶ N, om. B 15 καθ' ὅλου] καθόλου KTV μὲν] om. K 15 sq. κατακοσμήσει] κοσμήσει η (praeter B).

κοσμήσει πολυτελῶς, ἐμὲ δὲ Πλούτων νυμφαγωγήσει
περιφανῶς. Ἀλλ' ὢ φιλημάτων ἐκείνων, ὧν εἰς κενὸν
ἐτρυφήσαμεν· ὢ θλίψεων σαρκῶν, ἃς μάτην κατωδυνή-
7 θημεν· ὢ συμπλοκῶν καὶ περιπλοκῶν, αἷς ἀνωφελῶς
ἐνεπλάκημεν· ὢ κακῶς ἰδόντες ὀφθαλμοὶ καὶ παρὰ τοῦτο
θρηνοῦντες ἀτέλεστα. Αὕτη μοι χεὶρ ὑπηρέτησέ μοι πρὸς 218
ἔρωτα, καὶ νῦν ὑπηρετήσει πρὸς φάσγανον, ὃ κατ' ἐμῆς
ταύτης ὠθήσω ψυχῆς.''

7 Ταῦτ' εἶπον, καὶ τὴν κόρην περιπλακεὶς κατεφίλησα
''ὄντως σοι τοῦτο'' λέγων ''λοίσθιον φίλημα·
τέλος δέχει δὴ τῶν ἐμῶν προσφθεγμάτων.

Καὶ σὺ μὲν εἰς Αὐλικώμιδα πατρίδα τὴν σὴν
ἐπὶ λαμπρῷ νυμφίῳ παλινοστήσεις νύμφη λαμπρά, καί
σοι τὸν ὑμέναιον βασιλικῶς κατεπᾴσονται, ἐγὼ δ' εἰς
Ἅιδου φοιτήσω καὶ ὅλον χορὸν Ἐριννύων συναγαγὼν
2 ὅλον κατατραγῳδήσω μου τὸ δυστύχημα· καὶ σοὶ
μὲν ὁ καλὸς Σωσθένης ἐπιθαλάμιον ᾄσει, ἐμοὶ δ' ὁ
πατὴρ ἐπιτύμβιον· ὁ μὲν σὸς πατὴρ ἐπὶ σοί, γλυκεῖα
νύμφη, γλυκὺ μελῳδήσει καὶ τὸ μελῴδημα, ὁ δ' ἐμὸς

1 δὲ) δ' ὁ ε (praeter B) νυμφαγωγήσει] νυμφοστολήσει V 2 κενὸν] καινὸν R 3 θλίψεων] θλίψεως P σαρκῶν] σαρκικῶν V 3 ἃς — 4 συμπλοκῶν] om. J 3 ἃς] ὧν κ, αἷς Hercherus 3 sq. κατωδυνήθημεν] κατωδυνήσαμεν η (praeter B), κατωδινήσαμεν ζ 4 καὶ περιπλοκῶν] om. O αἷς] ὧν κ 5 ἐνεπλάκημεν] ἀνεπλάκημεν (ἀνεκπλάκημεν M) Vε (praeter B) παρὰ] διὰ Vε τοῦτο] τοῦτο νῦν J 6 ἀτέλεστα] ἀγέλαστα Vε (praeter κ) 1. μοι] ἡ ε (praeter B) 2. μοι] με Rζ, σοι V, om. Hercherus 7 ὑπηρετήσει] καθυπηρετήσει ε (praeter B) ἐμῆς] ἐμαυτῆς B, ἐμοῦ Gaulm. (D) 8 ταύτης ὠθήσω] ὠθήσω ταύτης R 10 σοι] μοι B τοῦτο λέγων] λέγων τοῦτο η, λέγων τούτω λ 11 δέχει CP, δ' ἔχει MR, ἔχει G, δέχη rell. δὴ] om. N[1]VR 12 εἰς] ἐπ' Vζ Αὐλικώμιδα] Αὐλίκωμιν Hercherus 13 παλινοστήσεις] παλινοστήσαις (παλινοστήσης X^2) ε (praeter κ) νύμφη λαμπρά] λαμπρὰ νύμφη η (praeter κ) 14 τὸν] τὸν τὸν R, μὲν J κατεπᾴσονται] καταπάσσονται ε (praeter X^2κ) 15 Ἅιδου] ᾅδην BG 17 1. ὁ] om. Gaulm. ᾄσει] ἄδει NO, ἄγει θ ἐμοὶ δ' ὁ] ὁ δ' ἐμὸς η 19 γλυκὺ] καὶ γλυκὺ Vε (praeter B) καὶ τὸ] om. ε (praeter B).

ἐλεεινὸς Θεμιστεὺς ἐπὶ νεκρῷ παιδὶ γοερὸν ἀνακρούσεται· ὁ μὲν ᾆσμα χορεύσει γαμήλιον, ὁ δ' ἐμὸς ἀθλιώτατος πάντων πατὴρ ἐλεεινὸν μονῳδήσει καὶ πικρὸν ἐξιτήριον."

8 Ταῦτ' ἔλεγον καὶ τὴν κόρην ὅλην τοῖς δάκρυσιν ἔβρε-
6 χον· ἡ δ' "ὤλεσάς με" φησὶν "Ὑσμινία γλυκύτατε. Σύ μοι πατρὶς καὶ πατὴρ καὶ μήτηρ καὶ παστὰς καὶ νυμφίος καὶ δεσπότης ἐξ ἔρωτος· ἀλλ' (ὢ τήνδε μου γλῶσσαν ἐπέχει τὸ δάκρυον) μή σοι στόμα πατρὸς τὰς περὶ τὸ στόμα τοῦτο τοὐμὸν ὅλας ἐρωτικὰς καταδαίσηται χάριτας
2 ἃς εἰς κενὸν ἡμεῖς ἐρωτικῶς ἀντεπαίζομεν· μή σοι τὸ μέλι τρυγήσῃ τοῦ στόματος, ὃ μάτην ἡ φιλεργὸς ἐγώ σοι κατεπόνησα μέλιττα· μηδ' οὕτω παμφάγον ἔσται σοι στόμα πατρὸς ἐμοῦ, ὡς τοσαῦτα καταφαγεῖν ἀφροδίσια, ὅσα μάτην ἡμεῖς κατεπαίζομεν ἢ μᾶλλον ἐν ἡμῖν κατέπαιζον
3 Ἔρωτες. Ὑσμινία, σὺ τὴν ἐμὴν ταύτην Ὑσμίνην ἐρω-

1 Θεμιστεὺς] πατὴρ θεμιστεὺς B π (exp.) θεμιστεὺς P 2 ᾆσμα] ᾆσθμα G δ' ἐμὸς] δέ μοι B 5 ὅλην] om. η (praeter B) 6 ὤλεσάς] ὄλωλάς V σύ] καί V 7 καὶ πατὴρ] om. V καὶ μήτηρ] om. ε (praeter κ) 8 ἐξ ἔρωτος] ἐξαίρετος (ἐξαίροτος O) ε (praeter B) ἀλλ' ὢ] ἀλλ' ὃ B, ἀλλὰ J 8 τήνδε — 9 δάκρυον] Herchero suspecta sunt 8 τήνδε μου γλῶσσαν] τὴν γλῶσσαν δέ μου V 9 σοι] μοι V πατρὸς] πρὸς πρὸς G 2. τὸ] om. η (praeter B) 10 στόμα] στόμα καὶ G καταδαίσηται Vζ, καταδέσηται (—τας O) AFλ, καταιδέσηται R, καταιδήσηται T, καταδέσεται B, κατεδέσεται GK, καταδήσεται J, καταδαίσεται Le Basius perperam e C protulit et Hercherus in textum recepit, καταδήσει τὰς Le Basius 11 κενὸν] καινὸν G ἀντεπαίζομεν] κατεπαίζομεν (καταπαίζομεν F) η (praeter B) 12 τρυγήσῃ] τρυγήσει Jζ, τρυγήσοι η (praeter κ) φιλεργὸς] φιλοεργὸς V ἐγώ] om. J σοι] om. B 13 μηδ' Hercherus in adnot., μὴ α πάμφαγον ἔσται σοι στόμα] σοι στόμα πάμφαγον εἴη η (praeter B), σοι στόμα πάμφαγον ἔσται P ἔσται] ἔστω V σοι] om. B 14 ἐμοῦ] om. Vε (praeter B) 15 ἡμεῖς] ἡμᾶς V κατεπαίζομεν — ἡμῖν] om. V ἐν] om. G 15 κατέπαιζον — 16 sq. ἐρωτικῶς] om. M 16 ἐμὴν] σὴν Hercherus ταύτην] om. ε (praeter κ).

τικῶς κατεκήπευσας· σύ μοι καὶ φραγμὸν περίθου τῷ
κήπῳ, μὴ χεὶρ ὁδοιποροῦντος τρυγήσῃ με. Θανεῖν ἐθέλεις, 219
ἀλλὰ συναποτίθημι τῷ λόγῳ καὶ τὴν ψυχήν. Συνθανοῦ-
4 μαί σοι, ὥσπερ καὶ ζῶντι συζήσομαι. Καὶ δὴ συμπλέ-
κομαί σοι καὶ περιπλέκομαι καὶ τὸ ζώσιμον ὅλον κοινοῦ-
μαί σοι, ὥσπερ καὶ τὸ θανάσιμον ζητῶ συμμερίσασθαι."
Καὶ λέγουσα συνεπλέκετο καὶ συμπλεκομένη μοι πηγὰς
δακρύων εἶχε τοὺς ὀφθαλμοὺς καὶ ὅλον με κατεπέκλυζεν.

9 Ἐγὼ δ' "εἰ βούλει" φημὶ "καὶ τῆς ἐμῆς Εὐρυκώμιδος καὶ
τῆς σῆς Αὐλικώμιδος ἐφ' ἑτέραν μετάρωμεν, καὶ πατρίδας
καὶ τεκόντας καὶ θησαυροὺς καὶ τἆλλα τὰ κατ' οἴκους λαμ-
πρὰ φιλίας ἐρωτικῆς καὶ τοῦ συνοικεῖν ἀλλήλοις ἀνταλλα-
2 ξώμεθα. Ἔρως δ' ἡμῖν ἔσται καὶ πατρὶς καὶ τοκεῖς καὶ τὰ
κατ' οἴκους πολυτελῆ καὶ τροφὴ καὶ πόσις καὶ ἔνδυμα." Ἡ
δ' ὡς εἰς παστάδα μετακεκλημένη βασιλικήν, ὑπολαβοῦσά
φησιν "ἔχεις με τὴν σὴν Ὑσμίνην καὶ μετακόμιζε· σὺν σοὶ
3 θανοῦμαι·" Καὶ τῆς κλίνης ἀναστᾶσα συνείπετο, ἢ μᾶλλον
ἐφείλκετό με προτρέχουσα, ἐγὼ δ' "ἀλλ' οὐκέτι" φημὶ
"διακεκόσμηται τὰ τοῦ πράγματος," ἡ δ' ἀλλ' οὐκ
4 ἤθελεν ἀποσπασθῆναί μου τῶν χειρῶν. Μόλις οὖν ὅλους

1 σύ μοι] σύ μου G, καὶ σὺ V περίθου] περιέθου GRη (praeter B), περιέγμου P¹ 2 μὴ] om. AF¹λ τρυγήσῃ] τρυγήσει ζλ, τρυγήσοι AT, τρυγήσε F, τρυγῆ B 3 sq. συνθανοῦμαί] συναποθανοῦμαί R, καὶ συνθανοῦμαί (—μέν F pr. m.)η (praeter B), om. V 4 σοι] om. V δὴ] om. G 5 ὅλον — 6 θανάσιμον] om. O 7 μοι] om. V 8 με] om. B 9 εἰ βούλει] εἰ βούλῃ B, ἐβούλει P¹ Εὐρυκώμιδος] εὐρυκώμιδος ἐφ' ἑτέραν μετάρωμεν V¹ 10 ἐφ'] ἀποβάντες ἐφ' η (ἀφέντες ἐφ' κ) μετάρωμεν] μετάγωμεν GRε πατρίδας] πατρίδα BT 11 τὰ] om. K 11 sq. λαμπρὰ] om. B 12 sq. ἀνταλλαξώμεθα] ἀνταλλαξόμεθα NT, ἀντηλλαξώμεθα V 13 1. καὶ] om. G πατρὶς καὶ τοκεῖς] τοκεῖς καὶ πατρὶς V τὰ] τἆλλα τὰ B 14 οἴκους] οἶκον R τροφὴ] τρυφὴ G 15 εἰς] om. B μετακεκλημένη GKθμ, μεταβεβλημένη V, κατακεκλημένη B, μετακεκλιμένη rell., κατακεκλιμένη Gaulm. 16 με] om. V 17 ἢ μᾶλλον BV, μᾶλλον δ' η, καὶ μᾶλλον rell. 18 με] μοι N 20 μόλις] πόλις P¹.

θεοὺς αὐτοὺς διαμαρτυράμενος τῶν τῆς Ὑσμίνης ἀπε-
σπάσθην χειρῶν καὶ περὶ τὴν ἐμὴν ἐγενόμην κλίνην, τὸ
πρᾶγμα διασκοπῶν. Ἐπεὶ δ' ὕπνου οὐ συνεχωρούμην
τοῖς πράγμασιν, ἀναστὰς τῆς κλίνης καὶ λαμπρῶς δια-
κοσμησάμενος εἰς ἱερὸν ἀφικόμην Ξενίου Διός, ὅπου καὶ
Θεμιστεύς μοι πατὴρ καὶ μήτηρ Διάντεια καὶ Σωσθένης
καὶ Πανθία προσανεῖχον τοῖς θύμασι.

10 Μετὰ γοῦν πολλὰ τῶν θυμάτων, ἃ καὶ πατὴρ
ἐμὸς καὶ Σωσθένης ἐσπείσαντο, Σωσθένης καὶ Πανθία
ὅλας εἰς οὐρανὸν τὰς χεῖρας ἀράμενοι καὶ θερμὰ τῶν 220
ὀφθαλμῶν καταστάξαντες δάκρυα "Ζεῦ πάτερ" ἔλεγον,
"ἐπιθαλάμιόν σοι τοῦτο τὸ θῦμα <θύομεν> ὑπὲρ
ἡμετέρας Ὑσμίνης παιδός, ἧς ἤδη τοὺς γάμους τελέσαι
2 βουλόμεθα." Ταῦτ' ἔλεγον καὶ θύματα τῇ πυρᾷ κατε-
τίθεντο· μέγας δ' ἀετὸς ἐκ νεφῶν ἀνακλάγξας καὶ μετὰ
ῥοίζου καταχυθεὶς ἥρπασέ τε τὸ θῦμα καὶ τοὺς περὶ τὸν
βωμὸν συνετάραξεν. Ὁ μὲν οὖν δὴ Σωσθένης ὅλος ἦν
3 ἐκπεπληγμένος ἑστώς· ἡ δέ γε Πανθία κατὰ γῆν πεσοῦσα
καὶ τὴν πολιὰν τίλλουσα καὶ ψιλοῦσα τὴν κεφαλὴν "Ζεῦ
πάτερ, φεῖσαι πολιᾶς ταύτης ἐμῆς" ἔλεγε, "φεῖσαι νεότη-

1 θεοὺς αὐτοὺς] αὐτοὺς θεοὺς BR, θεοὺς αὐτῇ η 1 sq. ἀπεσπάσθην] ἀνεσπάσθην R 2 περὶ] παρὰ Gaulm. ἐγενόμην κλίνην] κλίνην ἐγενόμην V 5 εἰς] εἰς τὸ V Ξενίου] τοῦ ξενίου V καὶ] om. X 6 μοι] μου? Hercherus 8 μετὰ] μέγα P γοῦν] γοῦν δὴ κ τῶν θυμάτων] τὰ θύματα V καὶ] om. B 9 ἐμὸς] ἐμὸς διάντεια J[1] 1. Σωσθένης] μήτηρ κ 10 εἰς] πρὸς AFλ 11 καταστάξαντες] κατασταλλάξαντες V, καταστάζοντες G 12 τοῦτο τὸ θῦμα] τοῦτο θῦμα GJ, τὸ θῦμα B, τὸ θῦμα τοῦτο ε, τοῦτο τὸ θῦμ'? τὸ θῦμα τοῦθ'? Hercherus <θύομεν> scripsi, om. α 13 Ὑσμίνης] ταύτης V ἤδη] δὴ Jζ τελέσαι] om. J 14 θύματα] τὸ θῦμα B πυρᾷ] πειρᾷ ζ 14 sq. κατετίθεντο] κατετίθετο B 15 ἐκ] ὡς ἐκ V 16 ἥρπασέ] ἥρπαξε V τε] om. BVR 17 συνετάραξεν] διεσπάραξεν η (praeter κ) δὴ] om. B ἦν] om. J 18 ἑστώς] καὶ (om. A) ἐνεὸς (ἐννεὸς F corr. X[2]) ἑστώς η (praeter B) κατὰ] καὶ τὰ P 19 πολιὰν] πολιὰν ἀμφοτέραις Gaulm. 2. τὴν] καὶ τὴν P 20 πολιᾶς ταύτης ἐμῆς] πολιᾶς τῆς ἐμῆς J, πολιᾶς ἐμῆς B, τῆς ἐμῆς πολιᾶς ε.

τος θυγατρός· αὕτη μοι παραμύθιον, αὕτη μοι παρα-
ψυχή, αὕτη μοι τοῦ γένους ἐλπίς· ταύτῃ γέγηθα καὶ
4 τῶν τοῦ γήρως κακῶν ἐπιλήθομαι· ἀπ' ἐμᾶς οὖν ἀπ'
ἐμᾶς ταύτης παιδὸς τὸν ἀπαίσιον τοῦτον πέμψον ὄρνιν.
Ζεῦ Πάτερ, μή μου τοὺς ὀφθαλμοὺς ἐκκόψῃς· μή μου
τὸν λύχνον σβέσῃς· μή μου πρόρριζον τὸν στάχυν ἐκτίλῃς·
5 μή μου τοῦ γένους παντὸς ἀποκείρῃς τὸν βόστρυχον. Ὦ
δειλαία μήτηρ ἐγώ, δειλαία τῶν θυμάτων, δειλαία τῶν
οἰωνῶν· καλλίπαις ἧκον ἐξ Αὐλικώμιδος, πατρίδος ἐμῆς,
καὶ νῦν ἀθλιόπαις ἐν Εὐρυκώμιδι. Ὡς παρθένον τὴν ἐμὴν
ἐνυμφοστόλουν Ὑσμίνην, καὶ νῦν ὡς νεκρὰν ἀποδύρομαι
6 καὶ ζῶσαν θρηνῶ. Ὑσμίνη μοι φῶς ἀπερρύης τῶν
ὀφθαλμῶν· οὐκ ἐπιθαλάμιον, ἀλλ' ἐπιθανάτιον ᾄδω σοι·
οὐκ ἐπιγαμηλίοις, ἀλλ' ἐπιτυμβίοις σπένδομαί σοι χοαῖς
καὶ κατὰ τὴν παροιμίαν ἄνθρακας εὑρίσκω τοὺς θησαυ-
ρούς."

11 Ταῦτ' ἔλεγε Πανθία καὶ τὸν βωμὸν ἐπλήρου θρήνων

1 sq. αὕτη μοι παραψυχή] om. η (praeter B) 2 τοῦ] om. G 3 γήρως] γήρους] BRζ ἐμᾶς] ἐμῆς (ἐμεῖς P[1]) BGRζ 4 ἐμᾶς] ἐμῆς (ἐμεῖς P[1]) BGRζ ταύτης] ταῦτα B ἀπαίσιον] ἀπαισιώτατον (αι sec. m. pro ε) V τοῦτον] om. GJ[1] πέμψον ὄρνιν] ὄρνιν πέμψον β 5 ζεῦ πάτερ R, πάτριε ζεῦ G, ζεῦ πάτριε rell., πάτερ Ζεῦ Gaulm. 1. μου] μοι ζ ἐκκόψῃς] ἐκκόψοις J[1] 6 σβέσῃς] σβέσοις J, σβέσεις θμ στάχυν] ἄσταχυν Hercherus ἐκτίλῃς Le Basius, ἐκτείλῃς B, ἐκτίλλοις J, τίλλῃς AF[1]λ, ἐκτίλλῃς rell. 7 μου] μοι G ἀποκείρῃς] ἀποκείροις J τὸν βόστρυχον] τὸν βόστρυχα ε (praeter κ), τὰ βόστρυχα Osannus 8 μήτηρ] μῆτερ η (praeter κ) ἐγώ] ἐγώ, ὢ F[2], ὦ (ὢ) ε (praeter B) 3. δειλαία] ὦ δειλαία λ 11 ἐνυμφοστόλουν Ὑσμίνην] ὑσμίνην ἐνυμφοστόλισα B, ὑσμίνην ἐνυμφοστόλησα G 12 μοι φῶς ἀπερρύης] φῶς ἀπερρύης μοι B, μοι φῶς ἀπορρυὲν V, μοι (μὴ P) φῶς ἐξαπερρ(—ρ—ζ)ύης GJζ 13 οὐκ — σοι] om. λ 14 ἐπιγαμηλίοις] ἐπὶ γαμηλίοις θ, ἐπιγαμηλίους Hercherus ἐπιτυμβίοις] ἐπὶ τυμβιδίοις θ, ἐπιτυμβίους Hercherus χοαῖς] χοᾶς V, χοὰς Hercherus 15 εὑρίσκω] εὑρήσω F[1] 17 ταῦτ' ἔλεγε] ταῦτα λέγων P Πανθία] ἡ πανθία ε (praeter B) θρήνων] τῶν θρήνων V.

καὶ κωκυτῶν, τὴν παρειὰν αὐλακίζουσα, διαρρήσσουσα
τὴν ἐσθῆτα, λίθῳ πλήσσουσα τὸ στέρνον καὶ τὴν κεφαλὴν
2 καταράσσουσα. Τὸ μὲν οὖν δὴ πλῆθος (οὐδὲ γὰρ ἀπὸ 221
δρυός, οὐδ' ἀπὸ πέτρης) τοῖς τῆς Πανθίας κατεθρύπτετο
καὶ θρήνοις καὶ στεναγμοῖς, καὶ ἦν ἐξ ἀνδρῶν καὶ γυναι-
κῶν σύμμικτος ἡ βοή· αἱ μὲν γὰρ δὴ γυναῖκες τῇ
Πανθίᾳ συνεθρήνουν καὶ συνεκόπτοντο, οἱ δ' ἄνδρες
3 ἐξεπλήττοντό τε καὶ κατεπλήττοντο· καὶ οἱ μὲν ἀπαίσιον
κατεφιλοσόφουν τὸν οἰωνόν, οἱ δέ γ' αἰσιώτατον· ἦσαν
δὲ παρ' οἷς καὶ τὸ πρᾶγμα τυχηρὸν ἐλογίζετο· οὕτω μὲν
οὖν τὸ πλῆθος ὡς καὶ τὴν γλῶσσαν καὶ τὴν γνώμην εἶχον
4 σύμμικτον καὶ διάφορον. Μήτηρ δέ μοι Διάντεια σὺν πατρὶ
Θεμιστεῖ τὴν Πανθίαν περιχυθέντες περὶ τὴν ἡμετέραν
μεθεῖλκον οἰκίαν, καὶ ταῦτα μὴ θέλουσαν· ἐγὼ δὲ καὶ
Κρατισθένης (παρῆν γὰρ καὶ αὐτὸς) τὸν Σωσθένην μεθείλ-
κομεν καὶ περὶ τὴν οἰκίαν γεγόναμεν καὶ πρὸ τῶν πυλῶν
τὴν Ὑσμίνην δακρύουσαν εὕρομεν· προδραμοῦσα γάρ τις
5 παιδίσκη ταύτην τὸ πᾶν ἀνεδίδαξε. Καὶ πάλιν θρῆνος
ἦρτο καὶ κωκυτός· ἡ μὲν γὰρ δὴ μήτηρ ὡς ἐπὶ θυγατρὶ

1 αὐλακίζουσα] αὐλακίζουσα καὶ ε (praeter BN), διαξέουσα R. 2 τὴν ἐσθῆτα] τὰς ἐσθῆτας (ε sec. m. pro αι) V τὸ στέρνον] τὰ στέρνα V 3 καταράσσουσα] καταρράσσουσα GJKR, καταρράσουσα B, καταρράσουσας P, καταρώσουσα V οὖν] om. N δὴ] δὴ πολὺ KV οὐδὲ γὰρ] οὐδ' B 4 πέτρης PTμ, πέτρας rell. κατεθρύπτετο] κατεδρύπτετο R 5 1. καὶ] om. η στεναγμοῖς] σταλαγμοῖς V 6 γὰρ] οὖν G δὴ] om. B 6 sq. τῇ Πανθίᾳ] τὴν πανθίαν K 7 συνεθρήνουν] om. F^1 καὶ] om. F 9 τὸν οἰωνόν] τῷ οἰωνῷ ε (praeter κ) δέ γ' BGR, δ' rell. 10 παρ' οἷς καὶ] καὶ παρ' οἷς η (praeter B), καὶ παρ' οἷς καὶ Le Basius τυχηρὸν] τί (sic) χεῖρον V ἐλογίζετο] ἐλογίζοντο V^1Rζ 12 δέ μοι] δ' ἐμὴ B, δέ μου? Hercherus 13 τὴν Πανθίαν] τῇ πανθίᾳ B 14 μεθεῖλκον] εἷλκον (ἧλκον O) ε (praeter B) 15 Σωσθένην] σωκράτην σωσθένην N^1 16 γεγόναμεν] μεθείλκομεν καὶ γεγόναμεν V 17 προδραμοῦσα] προσδραμοῦσα G 18 ταύτην Vη (praeter B), ταύτῃ rell. 19 γὰρ δὴ] δὴ γὰρ μ ὡς] om. V ἐπὶ] περὶ η (praeter BF).

θανούσῃ τὸν θρῆνον ἐξήγειρεν, ἡ δέ γε θυγάτηρ ἐπὶ μητρὶ θρηνούσῃ πικρὸν ἀντωδύρετο. Καί μοι πατὴρ Θεμιστεὺς καὶ μήτηρ Διάντεια περὶ τὸ δωμάτιον τὰς γυναῖκας εἰσάγουσι, τὸν κοπετὸν κατευνάζοντες.

12 Ἐγὼ δὲ καὶ Κρατισθένης περὶ τοὐμὸν γεγονότες
6 δωμάτιον τὰ μετὰ τὴν Αὐλίκωμιν ἐκοινούμεθα· ὡς ἐπὶ
τὸ δεῖπνον κατὰ μετωπόν μου τὴν Ὑσμίνην ἡ τάξις
ἐκάθισεν, ὡς ἔγωγε τὸ πόμα λαβὼν καὶ μόνον ἐγγίσας
τοῖς χείλεσι πρὸς τὸν δόντ' ἀντιδέδωκα, τὴν Ὑσμίνην
2 εἰπὼν ὀφείλειν μου προπιεῖν, καὶ ὁ Κρατισθένης (οὗτος
11 γὰρ ἐξ ἐπιταγῆς τοῦ πατρὸς ᾠνοχόευε) πρὸς τὴν Ὑσμίνην
ἐκόμισεν, ὡς ὅλαις ἡ κόρη τοῦτο χερσὶν ὑπεδέξατο, ὡς
εὐχαριστεῖ μοι τῷ σχήματι, ὡς ἐπὶ δευτέρῳ πόματι·
Κρατισθένης τῇ κόρῃ μου προκιρνᾷ, ὡς αὕτη μικρὸν 222
3 ἐκροφήσασα τὸ πᾶν ἀντιδέδωκε, κἀγὼ τὸν διψῶντα σχη-
16 ματισάμενος τῶν τοῦ Κρατισθένους μεθειλκυσάμην χειρῶν

1 τὸν — 2 θρηνούσῃ] om. G 1 τὸν] om. V ἐπὶ] ὡς ἐπὶ κ 2 θρηνούσῃ] θανούσῃ Vε μοι] μου? Hercherus 4 εἰσάγουσι] εἰσαγούσας V[1] κατευνάζοντες] κατευνάσοντες V 5 δὲ] om. J Κρατισθένης] κρατισθένης τὸ B, κρατισθένης, παρῆν γὰρ καὶ αὐτός ε (praeter F[2]) 6 μετὰ] ἐπὶ V 7 μου] μοι B 7 sq. ἡ τάξις ἐκάθισεν] ἐκάθισεν ἡ τάξις N, ἡ τάξις ἐκάλεν (sic) B 8 ὡς — 100, 13 sq. διαμαρτυράμενοι] καὶ τἄλλ' ὁπόσα ἔν τε τραπέζῃ καὶ τοῖς ἄλλοις παρηκολούθησαν V 8 λαβὼν] om. λ 10 ὀφείλειν] ὀφείλει R, ὀφείλεις G καὶ] ὡς Hercherus Κρατισθένης Le Basius, καλλισθένης α 11 ᾠνοχόευε] οἰνοχόευε (οἰνοχόεβε O) ι 12 ἐκόμισεν] ἐκόμιζεν N τοῦτο] ταῖς J ὑπεδέξατο] ὑποδέξαιτο GKNζ 13 εὐχαριστεῖ μοι scripsi, εὐχαριστήμοι R, εὐχαρίστει (sic) μ' ἐς B, εὐχαριστῇ σοι K, εὐχαριστῆσαι A (teste Le Basio), εὐχαριστήσοιε X[2], εὐχαριστήσει G, εὐχαριστήσοι rell., εὐχαρίστησε Le Basius, ηὐχαρίστησε Hercherus ἐπὶ] ἐπὶ τῷ Hercherus πόματι] τῷ πόματι J 14 Κρατισθένης τῇ κόρῃ Hercherus, τὴν ἰσμήνην καλλισθένης B, καλλισθένης τὴν κόρην rell., Κρατισθένης τὴν κόρην Le Basius προκιρνᾷ] προὔκρινε? Hercherus αὕτη] αὐτῇ (sic) R 15 ἐκροφήσασα] ἐκροφήσας B τὸ] om. Gaulm. (D) τὸν διψῶντα] τῷ διψῶντι B 15 sq. σχηματισάμενος] μετασχηματισάμενος BR 16 Κρατισθένους Le Basius, καλλισθένους α.

τὸ ποτήριον, καὶ τἆλλ' ὁπόσα συμπίνοντες ἐρωτικῶς κατε-
παίζομεν· τὴν τῶν πατέρων καὶ μητέρων ἡμῶν πρὸς τὸν
βωμὸν ἐπὶ θύμασιν ἀναχώρησιν, καὶ τὰ περὶ τὴν κλίνην
4 τῆς κόρης ἡμέτερα παίγνια, καὶ τὰς συνθήκας ὅσας ἐρωτι-
κῶς συνεθέμεθα, τὴν ἐπὶ τῷ δευτέρῳ δείπνῳ τοῦ Σω-
σθένους γλῶσσαν ὡς θύσοι τοὺς γάμους τῇ θυγατρί, ὡς
τὸν ἐμὸν πατέρα κἀμὲ πρὸς αὐτοὺς γάμους ἐπὶ τὴν Αὐλί-
κωμιν συγκαλέσοιτο, τὴν ἡμετέραν ἐπὶ τῷ παραδόξῳ τοῦ
5 ῥήματος ἔκπληξιν, καὶ τἆλλ' ὁπόσα περὶ τὴν τράπεζαν,
τὴν ἐπὶ δευτέροις τούτοις θύμασι τοῦ Σωσθένους καὶ
τῆς Πανθίας πρὸς τὸν βωμὸν ἐπαγρύπνησιν, τὴν μόνωσιν
τῆς παρθένου, τὰ περὶ τὴν κλίνην ταύτης ἡμέτερα δάκρυα
καὶ τέλος τὰς συνθήκας, ἃς συνεθέμεθα θεοὺς αὐτοὺς διαμαρ-
τυράμενοι.

13 Καὶ ὁ Κρατισθένης "αἰσιώτατόν σοι τὸν οἰωνὸν προ-
μαντεύομαι, τῷ δ' εἰς Αὐλίκωμιν τῆς Ὑσμίνης νυμφίῳ
καὶ λίαν ἀπαισιώτατον. Εἰ γοῦν καὶ Ζεὺς αὐτὸς τὴν
ἁρπαγὴν ὑπαινίττεται καὶ οἷον ταύτην κατεπισκήπτει σοι,
2 τί μέλλεις; τί δ' ἀναδύῃ;" ἐγὼ δὲ πρὸς αὐτὸν "ἐν συμ-

1 τἆλλ' ὁπόσα] τἄλλα πόσα F[1] 2 πατέρων] πατέρων ἡμῶν N καὶ] καὶ τῶν η (praeter B) ἡμῶν] om N 2 sq. πρὸς τὸν βωμὸν] om. η (praeter B) 3 περὶ] παρὰ Gaulm. 5 τῷ] om. ε τοῦ] τὴν τοῦ R 6 θύσοι] θύσει G τοὺς] om. G 7 αὐτοὺς] τοὺς G, αὐτοὺς τοὺς X[2] 7 sq. ἐπὶ τὴν Αὐλίκωμιν συγκαλέσοιτο] ἐπὶ τὴν αὐλίκωμιν ἀνακαλέσοιτο P[2], προσανακαλέσοιτο ἐπὶ τὴν αὐλίκωμιν η (praeter B), ἐπὶ τὴν Αὐλίκωμιν προσανεκαλέσατο Le Basius 10 δευτέροις] δευτέρους Teucherus τούτοις θύμασι] θύμασι τούτοις λ 11 πρὸς] ἐπὶ B, περὶ? Hercherus ἐπαγρύπνησιν] ἀγρύπνησιν η (praeter B) 12 παρθένου] κόρης R ταύτης] ταύτην AFλ ἡμέτερα] ὑμέτερα N, ἡμέρα F[1] 13 αὐτοὺς] om. λ 13 sq. διαμαρτυράμενοι] διαμαρτυράμενος μ 15 αἰσιώτατόν] αἰσιώτατά V 16 εἰς scripsi, ἐπ' α Αὐλίκωμιν] αὐλικώμιδι η (praeter B), Αὐλικώμιδος Hercherus 17 ἀπαισιώτατον] ἀπαισιώτατος V Ζεὺς] ὁ ζεὺς G τὴν] σὴν Τζ (συν—P) 18 ταύτην] ταύτη NOPR κατεπισκήπτει σοι] κατεπισκήπτῃ σοι NO, κατεπισκήπτησι (—σιν ζ) ζθ 19 δ'] om. Vλ.

φοραῖς κατὰ τὴν τραγῳδίαν φίλοι σαφέστατοι· καί μοι διασκόπησον τὰ τοῦ πράγματος." Καὶ ὁ Κρατισθένης "ἐγώ σοι καθυπηρετήσω τῷ δράματι·" καὶ "χαίροις" εἰπών μοι περὶ τὴν διασκευὴν τοῦ πράγματος ᾤχετο· κἀγὼ περὶ τὸ δωμάτιον γέγονα.

14 Ἔνθα μοι πατὴρ καὶ μήτηρ σὺν Σωσθένει καὶ Πανθίᾳ καὶ τῇ κόρῃ τὰ περὶ τὸν βωμὸν καὶ τὸ θῦμα διελογίζοντο, καὶ τῆς παρθένου πρὸς τὴν μητέρα λεγούσης ἀκήκοα "ἱκανά σοι, μῆτερ, κατευνάσαι τῆς ψυχῆς τὸ 223
κλυδώνιον τὰ παρὰ Θεμιστέως καὶ Διαντείας εἰρημένα σοι,
2 μὴ πιθανότητος ἀλλ' ἀληθείας ἐχόμενα· σὺ δ' ἵνα τί καὶ πάλιν οὕτως ὅλη γίνῃ τοῦ πράγματος καὶ ὅλην ἑαυτὴν καταθρύπτεις τοῖς ὀδυρμοῖς; Ζεὺς ἀνανεύει τὸν γάμον, οὐ βούλεται νυμφαγωγηθῆναί με· τοῦτο φὴς τὸν ἀετὸν
3 ὑπαινίττεσθαι. Τῆς τοῦ Διὸς προμηθείας, τῆς τούτου φιλανθρωπίας. Σὺ δ' ἠβούλου νυμφευθῆναί με καί μοι τελεσθῆναι τὸν γάμον ἀπαίσιον. Τί, μῆτερ, θρηνεῖς ἐφ'

1 φίλοι] φίλοις (φίλας M) ζ 1 sq. διασκόπησον] διασκόπισον V, διακόσμησον G 2 πράγματος] δράγματος G 3 δράματι] δράγματι G καὶ] om. F[1] χαίροις] χαίρεις λ (X[1]) 4 τὴν] om. Gaulm. (D) διασκευὴν] παρασκευὴν B πράγματος] δράματος B 9 ἱκανά] ἱκανόν ζ σοι] σε V, ση O μῆτερ] μήτηρ FPμ τῆς] om. B 10 παρὰ] περὶ KR 11 μὴ] οὐ η (praeter B) 12 οὕτως] om. G 12 ἑαυτὴν — 13 ὀδυρμοῖς] καταθρύπτεις τοῖς λογισμοῖς ἑαυτήν R, ἑαυτὴν καταθρύπτεις τοῖς δακρύοις B, ἑαυτὴν καταθρύπτεις τοῖς δάκρυσι καὶ τοῖς ὀδυρμοῖς G, ἑαυτὴν καταθρύπτης τοῖς ὀδυρμοῖς ζ, αὑτὴν καταθρύπτεις (—ης P) τοῖς ὀδυρμοῖς P[2]T, σεαυτὴν καταθρύπτεις τοῖς ὀδυρμοῖς Hercherus 14 νυμφαγωγηθῆναί] νυμφαγωγῆναί V με] om. F[1] 15 προμηθείας] προμηθίας η (praeter BX) τούτου] τοῦ μ (X[1]) 16 φιλανθρωπίας] φιλανθρωπείας V δ' ἠβούλου JK, δ' ἐβούλου GR, δ' εἰ βούλου V, δὲ βούλη B, βούλει F[2], δ' εἰ βούλει ε, δ' οὐ δὴ βούλει Gaulminus, δ' οὐ δὴ βούλῃ Teucherus νυμφευθῆναί] νυμφαγωγηθῆναί Vη (praeter B) μοι] om. κ, μὴ ε 17 τελεσθῆναι] τετελεσθῆναι V ἀπαίσιον. τί] ἀπαίσιον ἀλλὰ τί R ἀπαίον τίσι O μῆτερ] μήτηρ V 17 sq. ἐφ' οὕτω] ἐφωτω V[1], ἐφετω V[2].

4 οὕτω καλῷ Διὸς οἰωνῷ;" Καί μοι πατὴρ Θεμιστεὺς τὴν παρθένον ἐπῄνεσε λέγων "εὖγέ σοι τῆς συνέσεως, κόρη, καὶ τῆς γλώσσης ὑπέρευγε" καὶ πρὸς τὸν Σωσθένην φησὶν "εἰ δοκεῖ, γενώμεθα καὶ περὶ τὴν τράπεζαν· Διασίων καιρός, σεβασθῶμεν τὴν ἑορτήν, ἵν' ᾖ καὶ Ζεὺς ἡμῖν εὐμε-
5 νέστερος. Μετάσχωμεν τροφῆς, συμμετάσχωμεν ὕπνου· ἤδη καὶ νύξ, ἐγγὺς ὁ τῶν θυμάτων καιρός, ἐπὶ τὸν βωμὸν ἡμᾶς συγκαλούμενος." Ἡ δὲ Πανθία φησὶν "οὐκέτι περὶ τὸν βωμὸν γένωμαι, οὗ θῦμα θύσω λαμπρὸν ὑψι-
6 πέτῃ ἀετῷ· ἅλις μοι τῶν θυμάτων, ἅλις μοι τῶν θρήνων, κόρος μοι τῆς ἀπευκταίας ταύτης οἰωνοσκοπῆς· κἂν ὁ θηριώδης ἐκεῖνος ἀετὸς καὶ ἀπαίσιος οὐκ ἐκορέσθη τοῖς θύμασιν, οὗτος ἀετὸς ἐκεῖνος, ὃς Προμηθέως ὀρύττει πλευράν, ὃς ὅλον ἧπαρ κατέφαγε καὶ τὴν ἐμὴν ὅλην ταύτην γαστέρα παντελῶς κατορώρυχε καὶ τὰ σπλάγχνα κατεδηδόκει

1 Διὸς) τοῦ διὸς V 1 sq. τὴν παρθένον] τὴν κόρην B, om. P[2]T 2 σοι] om. AFλ 4 εἰ δοκεῖ] εἰ δοκεῖς G, ἐδοκεῖ P, εἰ δωκεῖ N καὶ] om. G τὴν τράπεζαν] τὸ δωμάτιον ἐς τὸ δεῖπνον, ὅτι V 4 sq. Διασίων καιρός] καιρὸς διασίων ἐστὶ B 5 σεβασθῶμεν] σεβάσωμεν AFλ 6 μετάσχωμεν] μετάσχομεν R συμμετάσχωμεν] συμμετάσχομεν R ὕπνου] ἄρτου B 7 ἤδη] ἦδε B, ἤδη γὰρ N ἐπὶ] περὶ B 9 περὶ τὸν βωμὸν γένωμαι] π. τ. β. γενώμεθα V, π. τ. β. γένομαι Bζ, γένωμαι περὶ τὸν βωμὸν η θύσω] θήσω M λαμπρὸν] λαμπρῶ GR 9 sq. ὑψιπέτῃ ἀετῷ] ἀετῶ ὑψιπετεῖ B, ὑψιπετεῖ ἀετῶ JKVR 10 1. ἅλις — θρήνων] ἅλις (corr. ex ἅλεις) μοι τῶν θρήνων F[1]; post θρήνων addit F[2]: ἅλις μοι τῶν θυμάτων 11 κόρος] κόρης ε (praeter B) οἰωνοσκοπῆς R, οἰωνοσκοπιᾶς J[1]V, οἰονοσκοπιῆς K, οἰοωοσκοπιῆς (sic) F, οἰωνοσκοπιῆς rell., οἰωνοσκοπίης Gaulm., οἰωνοσκοπίας Le Basius 12 καὶ ἀπαίσιος] om. B ἐκορέσθη] ἐκκορέσθη R 12 sq. τοῖς θύμασιν] τοῦ θύματος B 13 οὗτος — 103, 1 μου] om. V 13 οὗτος] οὗτος ὁ P ἀετὸς] ἀετὸς καὶ ἀπαίσιος οὐκ ἐκορέσθη θυμάτων N[1] ὃς] ὃς ὁ P πλευράν] πλευρά Τζ 14 ὅλην ταύτην] ταύτην ὅλην ζ, ταύτην G 15 παντελῶς] παντελῶς ἐξ N[1] τὰ] om. η (praeter B) σπλάγχνα] πλάγχνα J κατεδηδόκει] κατεδωδήκει CMX, κατεδωδίκει AFNOP[1], κατεδωδόκει B, κατοδωδήκει T, κατυδωδήκει P[2].

7 μου." Καὶ ὁ Σωσθένης "μὴ τὴν γλῶσσαν οὕτω προπετῶς προπέμποις καὶ ἀναιδῶς, μή σοι Ζεὺς χολωθῇ. Πεισθῶμεν τῷ Θεμιστεῖ." Καὶ πρὸς τὸν Σωσθένην ἡ Πανθία φησὶ

"σὺ μαλθακίζου, τὴν δ' ἐμὴν αὐθαδίαν
ὀργῆς τε τραχυτῆτα μὴ 'πίπλησσέ μοι·
ὅλα γὰρ τὰ σπλάγχνα μου καταπίμπραμαι."

15 Μετὰ γοῦν δὴ πολλὰ τὰν μέσῳ τράπεζα παρ' ἡμῖν 224
αὐτοσχέδιος τὸ δωμάτιον, τὰ δὲ περὶ τροφὰς καὶ πόσεις ἀφιλότιμα καὶ λίαν ἀνέορτα. Παρὰ δὴ μέσῃ ταύτῃ τῇ τραπέζῃ πάλιν ὁ καλὸς ἧκε Κρατισθένης καὶ σὺν ἡμῖν κατεκλίθη κατὰ γῆν καὶ κατὰ λίθους, οἷς μάλα τηλαυ-
2 γέσιν ἐκεκόσμητο τὸ δωμάτιον. Καὶ τέλος τὰ περὶ τὴν τράπεζαν καὶ τὸ δεῖπνον ἐλάμβανεν, εἴ γε δεῖ τράπεζαν καὶ δεῖπνον ἐκεῖνα καλεῖν· καὶ πάλιν ἐμὸς πατὴρ Θεμιστεὺς πρὸς τὴν Πανθίαν φησὶν "ὡς μήτηρ μὲν σύ, καὶ μήτηρ φιλόπαις, οὐχ ἧττον δὲ καὶ καλλίπαις (εἰρήσθω γὰρ τἀληθές), οὐκ ἀρνήσομαι· ὡς δὲ καὶ

1 μου] μοι G οὕτω προπετῶς BGR, προπετῶς οὕτω rell. 2 προπέμποις R, προπέμπεις G, προπέμψῃς V^2, προπέμπῃς BJKζ, κίνει (κινεῖ AT) η ἀναιδῶς] αὐθαδῶς G σοι] σοι καὶ η (praeter B) πεισθῶμεν] πιστῶμεν R 4 μαλθακίζου] μαλακίζου JKVζ (P corr. ex μαλαχίζου) αὐθαδίαν GJ, αὐθάδειαν rell. 5 τραχυτῆτα scripsi, θρασύτητα α 'πίπλησσέ] 'πίπλησέ BR, πίμπλησσέ K, πίμπλησέ (P corr. ex πίμπλησαί) ε 6 τὰ] om. Gaulm. σπλάγχνα] σπλά R καταπίμπραμαι] κατεπίμπραμαι ζ (κατεπίμπρασμαι P), καταπίπραμαι O^1, καταμπίπραμαι N, κατεμπίπραμαι B, κατεμπίμπραμαι Osannus 8 τὸ] τῷ F^1, εἰς (ἐς Hercherus) τὸ Gaulminus 9 ἀφιλότιμα] ἀφιλέορτα K ἀνέορτα] ἀνέωρτα RX, ἀνέρωτα G παρὰ] περὶ B δὴ] δὲ B, om. K ταύτῃ] δὴ ταύτῃ K, om. R τῇ] om. BV 11 γῆν] τὴν γῆν GK καὶ] om. J λίθους] τοὺς λίθους Gaulm. 12 ἐκεκόσμητο] κατεκόσμητο BV τελος] τελος καὶ J 13 τὸ] om. Teucherus δεῖ] δὴ R, δὴ καὶ B 14 πάλιν] πάλιν ὁ ζ ἐμὸς πατὴρ] πατὴρ ἐμὸς B 14 sq. Θεμιστεὺς] om. J 15 Πανθίαν] παρθένον K σύ] καὶ σύ G, σοι Gaulm. 16 φιλόπαις] καλόπαις V οὐχ — καλλίπαις] om. F^1 δὲ] om. F^2 καλλίπαις] καλίπαις V^2 17 δὲ] δὴ R.

γυναιξὶ δεινὸν αἱ δι' ὠδίνων γοναί,
3 ὅλαι μητέρες συμμαρτυρήσουσιν· ὅτι δ'
ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ,
οἴδασι πάντες καὶ σύ. Ἐπὶ γοῦν σοι θυγατρὶ νυμφαγω-
γουμένῃ πάντως τὰ θύματα τέθυται, ἃ πάντα Διὸς
ἀετὸς ἀνηρείψατο. Εἰ μὲν οὖν ἀπαίσιος ὁ ἀετὸς καὶ τὸ
σημεῖον οὐκ ἀγαθόν, οὐκ ἀκριβὴς οἰωνοσκόπος ἐγώ· εἰ
δ' ἀπαισιώτατόν σοι τὸ πρᾶγμα δοκεῖ καὶ ὄντως ἐστὶν
4 ἀπαισιώτατον, τοῦτο μᾶλλον ἡμῖν αἰσιώτατον· εἰ μὲν
γὰρ μετὰ τὸν νυμφῶνα τὸ θῦμα, καὶ Ζεὺς ἀνανεύει τοὺς
γάμους καὶ τῷ ἀετῷ τὴν ἀνάνευσιν ὑπαινίττεται, οὐκ
ἄκαιρόν σοι τὸ δάκρυον· τῷ γάρ τοι Ἐπιμηθεῖ τὸ μετα-
5 μέλειν ἀνωφελῶς ἀφωσίωται· εἰ δέ σοι πρὸ τοῦ γάμου
τὸ θῦμα, καὶ ζητεῖς τὸ μέλλον μαθεῖν, καὶ Ζεὺς οὐκ
ἐπιτρέπει τοὺς γάμους, καὶ λίαν εὐμενής σοι τῆς προμη-
θείας θεός, καὶ περὶ τὸ θυγάτριον εὐτυχεῖς. Τί γοῦν
ἐφ' οὕτω καλῷ Διὸς οἰωνῷ θρῆνον ἐγείρεις καὶ κωκυτόν,
εὐχαριστήριόν τι μᾶλλον θῦμα περιφανὲς ὀφείλουσα Σωτῆρι
Διὶ καὶ σῶστρα ταύτης τῆς σῆς θυγατρός; Εἰ δ' οὖν, καὶ

1 αἱ δι' ὠδίνων scripsi, αἱ δι' ὠδίνων κατὰ τὴν τραγῳδίαν GR, αἱ δι' ὠδίνων κατὰ τὴν παροιμίαν B, κατὰ τὴν παροιμίαν αἱ δι' ὠδίνων K, κατὰ τὴν τραγῳδίαν αἱ δι' ὠδίνων JVε 3 μῦθος scripsi, λόγος α 4 ἐπὶ — 16 εὐτυχεῖς] om. V 4 ἐπὶ] ἐπεὶ R σοι] σοι τῇ G, σῇ ε (praeter B) 5 πάντως] πάντα R ἃ πάντα] ἅπαντα BPT, ἃ πάντως R 6 ἀετὸς ἀνηρείψατο] ἀνηρείψατο ἀετός R εἰ] καὶ εἰ B ἀπαίσιος] ἀπαίσιον R καὶ] om. R 8 ἐστὶν] ἐστί σοι B 9 τοῦτο — αἰσιώτατον] τούτῳ μ. ἡ. αἰσιώτερον? Hercherus τοῦτο] τοῦτον O, εἰ μὲν τοῦτο N^1 10 τὸν F^2R, om. rell. ἀνανεύει] ἀνανεύοι ζ 12 τῷ] τῶν X Ἐπιμηθεῖ τὸ] ἐπιθυμητῷ (ἐπιθυμῇ τῷ F^1, ἐπιθυμητῶν μ) ε (praeter κ) 12 sq. μεταμέλειν] μεταμέλλειν GR 13 πρὸ] πρὸς P τοῦ γάμου] τῶν γάμων B 15 ἐπιτρέπει] ἐπιτρέποι ζ 15 sq. προμηθείας] προμηθίας η (praeter B) 16 θεός] καιρός λ εὐτυχεῖς] εὐτυχής CM 17 ἐφ' οὕτω] ἐφῶτοῦ (sic) V καλῷ Διὸς] διὸς καλῷ V 18 τι] ἔτι κ μᾶλλον θῦμα] θῦμα μᾶλλον G^1, θῦμα η (praeter κ) ὀφείλουσα] ὀφθαλμοῦσα P Σωτῆρι] τῷ η (praeter κ) 19 σῆς] om. G^1η (praeter B) εἰ δ' οὖν, καὶ] εἰ δ' οὖν J, μὴ γοῦν κ.

τῷ ῥυσαμένῳ σε καὶ κλύδωνος καὶ πυρὸς ἀδικίαν ἐπεγκα-
λέσεις, ὅτι σοι τὸ ζῆν ἐχαρίσατο."
16 Μόλις οὖν τοῖς τοῦ πατρὸς τούτοις λόγοις πεισθεῖσα
Πανθία καὶ μικρὸν ἀνενεγκοῦσα τῆς οἰμωγῆς ἀνακεκλίσθαι
συνέθετο καὶ πάλιν ἐπαγρυπνῆσαι τοῖς θύμασι, καὶ οὕτως
2 ἀπ' ἀλλήλων ᾠχόμεθα. Ὁ γοῦν Κρατισθένης σὺν ἐμοὶ
γενόμενος περὶ τὸ δωμάτιον, πρός μέ φησιν "οὐκέτι σοι
καιρὸς ἀναβολῆς· πάντα γάρ σοι Ζεὺς σὺν ἡμῖν εὖ δι-
έθετο, καὶ ναῦς ἡτοίμασται περὶ Συρίαν ἀπαίρουσα· καί
μοι ξεῖνος πατρώιος Σύριος, ὃς ὑμᾶς ξεναγωγήσει καὶ
3 φιλοτίμως καθυποδέξεται." Καὶ πρὸς τὸν Κρατισθένην
ἐγὼ "εἴπερ οὐ κατέψευσαι τὴν φιλίαν καὶ τὸν σὸν Ὑσμι-
νίαν φιλεῖς καὶ ἄλλον κρίνεις αὐτόν, συνεκπλεύσει; ἡμῖν;"
4 Ὁ δέ μοί φησιν "ἐμοὶ δ' οὔποτε κατὰ νοῦν γέγονε μὴ
συνεκπλεῦσαι, μὴ συμπονῆσαί σοι, μὴ συμπαθεῖν καὶ
ὑπερπαθεῖν· χάρις δ' ἔστω μοι, τὸ μηκέτι πρὸς ἀναβολὰς
5 χωρεῖν μοι τοῦ πράγματος." Ἐγὼ δὲ πρὸς αὐτὸν "σὺ μὲν
εἰ βούλει γενοῦ μοι περὶ τὴν θάλασσαν καὶ τὰ περὶ τὴν
ναῦν διακόσμησον· ἐγὼ δ', ἡνίκα θυμάτων καιρὸς καὶ

1 σε] om. B, μοι R, σοι JKζ 1 sq. ἐπεγκαλέσεις] ἐπεγκαλέσῃς Le Basius 2 σοι] σε B, σοι καὶ V, μοι R 3 τούτοις] om. JVλ 4 καὶ] καὶ μετὰ J 5 ἐπαγρυπνῆσαι] ἀγρυπνῆσαι η (praeter κ) 6 γοῦν] οὖν η (praeter κ) 7 περὶ] παρὰ JMP σοι] om. R 8 πάντα] ταῦτα G 9 ἡτοίμασται η, ἡτίμαστο MV, ἡτοίμαστο rell. περὶ] παρὰ Gaulm. Συρίαν] σύρον (σύρου M, σύριον O) JVδ(praeter κ) ἀπαίρουσα] ἀπάγουσα V 10 ξεῖνος] ξένος Hercherus πατρώιος V, πάτριος rell. ὑμᾶς Le Basius, ἡμᾶς α ξεναγωγήσει] ξειναγωγήσει M, ξυναγωγήσει CP 12 κατέψευσαι] κατέψευσας Gaulm. (D) σὸν] om. G[1] 13 φιλεῖς] φῂς G κρίνεις] οὐ κρίνεις B αὐτόν] σαυτόν Nζθ συνεκπλεύσεις] ξυνεκπλεύσῃς (ξυνεπλεύσῃς O) λ ἡμῖν] ἐμοί η (praeter κ) 14 μοί] om. η (praeter B) οὔποτε] οὐδέποτε B κατὰ νοῦν γέγονε] γέγονε κατὰ νοῦν K 15 σοι] om. ε (praeter B) 15 sq. καὶ ὑπερπαθεῖν] om. F[1] 16 μοι] σοι V τὸ] om. BGR ἀναβολὰς] ἀναβολὴν B 17 χωρεῖν μοι] χωρεῖν με J, χωρεῖν μὴ P, χωροῦντι R 18 βούλει] βούλῃ JP 19 διακόσμησον] διακόσμισον PR.

Σωσθένης καὶ Πανθία περὶ τὰ θύματα σὺν τοκεῦσιν
ἐμοῖς, περὶ τὴν κόρην γενόμενος τὸ πᾶν ἐκκαλύψω τοῦ
δράματος. Σὸν δ' ἔργον ἔσται διασκοπεῖν τὸν καιρὸν
καὶ ἡμᾶς περὶ τὸν λιμένα καὶ τὴν ναῦν συγκαλέσα-
σθαι."

17 Ὁ μὲν οὖν Κρατισθένης ἐξῆλθε τοῦ δωματίου, ἐγὼ
δ' ὅλος ἐπὶ τὴν κλίνην ἀνακλιθεὶς ὅλας εἶχον λογισμῶν
θαλάσσας ἐπικλυζούσας μου τὴν ψυχήν, καὶ ὡς ναῦς ἐν
2 σάλῳ κατεκυματούμην καὶ κλύδωνι· ἠνιώμην, ἔχαιρον,
ἐδειλίων, ἐθάρρουν, ὅλος ἤμην ἡδονῆς καὶ φόβου μεστός·
τὸ μὲν γὰρ ἐπιτυχεῖν σφόδρα μου κατέσαινε τὴν ψυχήν, 226
τὸ δ' ἀποτυχεῖν καὶ λίαν κατέσειεν.

18 Ἐν μέσοις δὴ τούτοις τοῖς κύμασιν, ἐν ὅλαις θα-
λάσσαις καὶ κλύδωνι, ὕπνος μου τοὺς ὀφθαλμοὺς περικέχυται,
καὶ πλῆθος οὐκ εὖ ἀριθμούμενον ὁρῶ περὶ τὸ δωμάτιον
νεανίσκων καὶ παρθένων ἐστεφανωμένων ῥόδῳ τὰς κεφαλάς,
τὰς χεῖρας συνδουμένων ἀλλήλοις κατὰ σειρὰν καὶ μέλος
ᾀδόντων οἷον Σειρῆνες ᾄδουσι· καὶ ἦν τὸ μέλος Ἔρωτος
ὕμνος καὶ Ἀφροδίτης ἐγκώμια· τὸ δ' ᾆσμα καθ' ὑμέ-
2 ναιον ᾔδετο καὶ οἷον ἐπὶ παστάσιν ᾄδουσιν Ἔρωτες. Τὸ

1 περὶ] περὶ τὸν βωμὸν καὶ ε (praeter B) 6 οὖν] οὖν δὴ JK δὴ ε (praeter B) 7 ὅλος] ὅλως ε (praeter X²) τὴν κλίνην] τὴν κρίνην P, τῆς κλίνης B ἀνακλιθεὶς] ἀνακλινθεὶς J ὅλας] ὅλον J λογισμῶν] λογισμὸν ζ, λογισμῷ V 8 ἐπικλυζούσας] ἀπυκλυζούσας (sic) P μου] μοι ζ 10 ἤμην] ἡμῖν P 11 μὲν Vη (praeter B), om. rell. σφόδρα] καὶ σφόδρα V 12 κατέσειεν] κατέσαινεν Gaulm. 13 δὴ] δὲ B τοῖς] om. PRη (praeter B) 14 κλύδωνι] κλύδωσιν X² τοὺς ὀφθαλμοὺς] τοῖς ὀφθαλμοῖς K 15 εὖ ἀριθμούμενον] εὐαρίθμητον η (praeter B) περὶ] παρὰ Gaulm. 16 καὶ] om. η (praeter B) ἐστεφανωμένων] ἐστεφανωμένον R ῥόδῳ] ῥόδοις R 17 τὰς χεῖρας] ταῖς χερσὶ Hercherus συνδουμένων] post spatium 6 litt. μένων G ἀλλήλοις] ἀλλήλους Hercherus σειρὰν] σειρὰς B 18 ᾀδόντων] ἀδόντου V 19 ὕμνος] μέλος B ἐγκώμια] ἐγγώμια X, ἐγγόμια O δ'] om. R ᾆσμα] ἆσθμα (ἄσθμα N) λ 20 οἷον] ἦν B ἐπὶ παστάσιν] ἐπὶ πᾶσιν B, ἐπίστασιν V.

μὲν οὖν δὴ πλῆθος ᾖδε τὸ μέλος, καί μου τὴν ψυχὴν
ἡδονῆς ἐπλήρου καὶ χάριτος ἐρωτικῆς, καὶ ἤμην ὅλος [ἔρως]
3 ὡς ἐκβεβακχευμένος ἐξ ἔρωτος. Ἐν μέσῳ τούτῳ τῷ συμ-
μίκτῳ χορῷ τῷ λαμπρῷ τῷ χαρίεντι, ἐν μέσοις στεφάνοις,
ἐν μέσαις ᾠδαῖς, ἐν μέσοις ἐρωτικοῖς μελῳδήμασιν ὁρῶ
καὶ πάλιν ἐκεῖνον τὸν ἐφ' ὑψηλοῦ τοῦ δίφρου καθήμενον
Ἔρωτα βασιλικῶς ἐσταλμένον καὶ τὴν Ὑσμίνην τῆς χειρὸς
4 μεθελκόμενον· ἐγὼ δ' ὅλος ἐξεθαμβήθην ἰδών. Ὁ δέ μοί
φησιν "Ὑσμινία, ἰδοὺ τὴν Ὑσμίνην ἔχεις," καὶ τὴν χεῖρα
ταύτης τῇ δεξιᾷ μου χειρὶ παραθεὶς ἀπέπτη μου τῶν
ὀφθαλμῶν, καὶ τοὺς ὕπνους συμμεθελκόμενος.

1 δὴ] om. V ᾖδε τὸ] ᾖδε δὲ τὸ F[1], ᾔδετο B μου] μοι Gaulm. 2 ἡδονῆς ἐπλήρου] ἐπλήρου ἡδονῆς B ὅλος] ὅλως η (praeter κ) [ἔρως] om. F[2], del. Hercherus 3 ὡς] om. F[2] ἐκβεβακχευμένος] ἐκβακχευόμενος M μέσῳ] μέσῳ δὴ Hercherus, sed retractavit in adnot. 5 μέσαις] μέσοις GRε μέσοις] μέσοις τοῖς J 6 τοῦ] om. AFλ 7 ἐσταλμένον] ἐστεμμένον B 8 ὅλος] ὅλως η (praeter B) ἰδών] ὁρῶν K 10 ταύτης] ταύτη V.

Z

1 Οὕτω μὲν οὖν μοι τὴν Ὑσμίνην Ἔρως παρέθετο
καὶ μεθ' ὕπνους ὅλην ἐδόκουν ἔχειν αὐτήν, καὶ ὅλον
ἑώρων τὸν Ἔρωτα. Ἐπεὶ δὲ καὶ θυμάτων καιρός, καὶ 227
πάλιν Σωσθένης καὶ Πανθία σὺν μητρί μοι καὶ πατρὶ
Θεμιστεῖ, τὴν περὶ τὸ ἱερὸν ἐστέλλοντο καὶ τὰ θύματα,
περὶ τὴν Ὑσμίνην καὶ πάλιν ἐγὼ θύσων ὅλον αὐτὸν ἢ
2 θῦμα τὴν Ὑσμίνην ὅλην λαβεῖν. Καὶ πάλιν φιλῶ συμ-
πλεκόμενος καὶ πάλιν ἀντιφιλοῦμαι καταπλεκόμενος καὶ
πρὸς τὴν κόρην φημὶ "Ἔρως τῇ χειρί μου ταύτῃ σε
παρατίθησι, καὶ Ζεὺς τὴν ἁρπαγὴν ὑπαινίττεται." Ἡ δέ
μοί φησι "σὺ δ' οὔτε Διὸς αἰνίγμασι πείθῃ καὶ τὴν ἐξ
3 Ἔρωτος παρακαταθήκην οὐκ ἐθέλεις τηρεῖν. Εἶδες τὸ θῦμα,

1 παρέθετο] παρέσχετο η (praeter κ) 2 ἐδόκουν ἔχειν αὐτήν] ἔχειν ἐδόκουν αὐτήν GR, αὐτὴν ἔχειν ἐδόκουν B, ἐδόκουν βλέπειν αὐτήν V 3 ἑώρων] ἑώρουν B ἐπεὶ δὲ] ἐπειδὴ P καιρός] καιρὸς ἦν V 4 σὺν — 5 τὴν] om. η (praeter κ) 4 μητρί] τῇ μητρὶ Gaulm. μοι] om. ζ, μου Gaulm. 5 περὶ] παρὰ Gaulm. τὸ ἱερὸν] τὸν βωμὸν η (praeter κ) τὰ] om. M θύματα] θύματα καὶ η (praeter κ) 6 καὶ] om. η (praeter κ), καὶ περὶ τὴν Ὑσμίνην Le Basius πάλιν ἐγὼ] ἐγὼ πάλιν N θύσων] θύσον B αὐτὸν scripsi, αὐτὸν BGJKVR, ἑαυτὸν ATζ, ἐμαυτὸν Fλ 7 ὅλην] om. Gε λαβεῖν] ἀναλαβεῖν R, λαβεῖν ἐπιθυμῶν Le Basius, lacunam post λαβεῖν indicavit Hercherus 8 1. καὶ — καταπλεκόμενος] om. JVλ ἀντιφιλοῦμαι] φιλοῦμαι F καταπλεκόμενος] περιπλεκόμενος ζ 9 Ἔρως] ἔρως σε BN σε] om. BN 10 παρατίθησι] παρέθετο κ τὴν] σὴν η (praeter κ), σὺν ζ 10 ἡ — 11 φησι] om. η (praeter κ) 12 ἐθέλεις] 'θέλεις (sic) B εἶδες] εἰ δὲ P, ἴδες B.

τὸν ἀετόν· σὺ δὲ τὸν Δία βούλει κατὰ μέτωπον στῆναί σοι καὶ κατὰ στόμα λαλῆσαί σοι;" Καὶ πρὸς τὴν παρθένον ἐγὼ "νῦν ἐν ὀνείροις εἶδον τὸν Ἔρωτα τῇ χειρί σε κατέχοντα καὶ πρὸς τὴν ἐμὴν ταύτην παρατιθέμενον δεξιάν." Ἡ δέ μου τὴν δεξιὰν κατεφίλησεν, ἐγὼ δὲ καὶ τὴν ἑτέραν αὐτῆς· καὶ ἦμεν πάλιν καταφιλοῦντες ἐρωτικῶς.

2 Ἡ δέ μοι κόρη φησὶ "καλὰ μέν, Ὑσμινία, καὶ τὰ
φιλήματα, καὶ λίαν καλὰ καὶ γέμοντα χάριτος, ἀλλ' ἤδη
πέρας ἔχει τὰ θύματα, καὶ πάλιν Ὑσμίνη πρὸς Αὐλι-
κώμιδα· πρὸς δὲ ταυτηνὶ τὴν Εὐρύκωμιν ὁ καλὸς Ὑσμινίας
μοι σύ, ὁ τῶν χαρίτων λειμών, τὸ τῶν ἐρώτων σίμβλον,
2 ὁ τῆς ἐμῆς Ὑσμίνης δεσπότης. Ἀλλ', ὦ φῶς ἐμῶν
ὀφθαλμῶν, καρδίας παραψυχὴ καὶ ψυχῆς παραμύθιον, μή
σοι λήθης πόμα κεράσῃ μὴ χρόνος, μὴ πραγμάτων μετα-
βολαί, μή, τοῦτο δὴ τὸ καὶ θανάτου πικρότερον, παρ-
θένος ἐξ Εὐρυκώμιδος." Καὶ πάλιν ἐφίλει καὶ πάλιν
ἐδάκρυεν.

3 Ἐγὼ δ' ὅλην περιπλακεὶς τὴν κόρην καὶ ὅλην καταφιλήσας ἐρωτικῶς "τὸν Κρατισθένην" εἶπον "οὐκ ἀγνοεῖς, τὸν

1 σὺ δὲ τὸν] om. P[2] βούλει] βούλῃ B 2 1. σοι] σου F 2. σοι] om. G πρὸς] om. M 6 αὐτῆς] εὐθὺς ε (praeter κ) ἦμεν] ἡ μὲν P 8 μέν] μὲ N 9 καὶ λίαν — 10 θύματα] om. M 10 sq. Αὐλικώμιδα] Αὐλίκωμιν Hercherus 11 πρὸς — 13 δεσπότης] om. V 11 ταυτηνὶ] ταύτην BP 12 μοι] om. κ σίμβλον] σύμβλον ARλ, σύμβολον F 13 ἐμῆς] om. κ, σῆς Hercherus ἐμῶν] τῶν ἐμῶν λ 14 καρδίας] ὦ καρδίας Gaulm. παραψυχὴ] παρὰ ψυχῆς F καὶ ψυχῆς] ψυχῆς ATλ, om. F[1] 15 σοι] σε κ, om. N[1] κεράσῃ KVκ, κεράσοι rell. 1. μὴ] delendum censet Hercherus 15 sq. μεταβολαί] μεταβολή J 16 καὶ] τοῦ Vκ 16 sq. παρθένος ἐξ Εὐρυκώμιδος] παρθένος ἧκον αὐλικώμιδος, παρθένος ἐξ εὐρυκώμιδος ἀπελεύσομαι B, παρθένος ἧκον ἐξ εὐρυκώμιδος ἀπελεύσομαι F[2], om. V 17 ἐφίλει] ἐθρήνει F[2], ἐδρηνεῖ B ἐδάκρυεν] ἐδάκρυ ζ, ἐδάκρυον G 19 sq. καταφιλήσας] φιλήσας F 20 τὸν Κρατισθένην] καὶ τὸν κρατισθένην G[2], περὶ τοῦ κρατισθένους κ εἶπον] δεικνὺς εἶπον G.

συνεκπλεύσαντά μοι περὶ πατρίδα τὴν σὴν τὴν Αὐλίκωμιν. 228
Οὗτός μοι συμπατριώτης, ἀδελφιδοῦς ἐμός, ἄλλος αὐτός." Ἡ δέ μοί φησι "καὶ καθυπηρέτησα τούτῳ καὶ τῇ χειρί
2 μου ταύτῃ κεκέρακα." "Οὗτος δ'" ἐγὼ πρὸς αὐτὴν "καὶ ναῦν ἡτοίμασε καὶ τὰ περὶ τὴν ἡμετέραν φυγὴν διεκόσμησε, καὶ συνεκπλεύσει τούτοις ἡμῖν καὶ ὅλῳ καθυπηρετήσει τῷ δράματι." Καὶ ἡ κόρη τὸ στόμα μου κατεφίλησε λέγουσα "καταφιλῶ σου τὸ στόμα, καὶ τὴν γλῶσσαν ἀσπάζομαι τὴν καλήν μοι ταύτην ἀγγελίαν ἀγγέλλουσαν."

4 Καὶ πάλιν πρὸς τὴν παρθένον ἐγὼ "ἰδοὺ καὶ Ζεὺς καὶ μέγας Ἔρως αὐτὸς τῇ χειρί μου ταύτῃ σε παρατίθησι· τί γοῦν μὴ τὸν βότρυν τρυγῶ πεπανθέντα καὶ ὅλον ὑπερπερκάσαντα; τί μὴ τὸν στάχυν θερίζω κεκυφότα
2 πρὸς γῆν;" καί τι δρᾶν ἐπεχείρουν ἐρωτικώτερον, καὶ ὅλος ἤμην ἐπὶ τῷ ἐγχειρήματι, θλίβων, φιλῶν, συμπλεκόμενος, θρασυτέραν ἔχων τὴν χεῖρα καὶ τἆλλα πράττων ὅσα καθυπηρετοῦσι πρὸς ἔρωτα. Τὴν δ' Ὑσμίνην οὐκ ἔπειθον "οὐ πείσεις, οὐδ' ἢν πείσῃς με" λέγουσαν, "οὐδὲ γὰρ κλέψω τὸν γάμον, ὅν μοι Ζεὺς ἐχαρίσατο."

1 περὶ] πρὸς B, πρὸς τὴν F[2], περὶ τὴν θλ, παρὰ Gaulm. 2. τὴν] om. δ (praeter κ) 2 μοι] om. ε (praeter κ) ἄλλος] οὐκ ἄλλος B, ἄλλως P 3 1. καὶ] om. B καθυπηρέτησα] καθυπηρέτησά τε V, καθυπηρέτησα καὶ N[1], καθυπηρετήσασα J 4 μου BR, om. rell. οὗτος] οὕτως R, οὕτω V 5 ναῦν] νῦν G, ναῦ O 6 τούτοις] οὗτος ε 8 κατεφίλησε] κατεφίλει κ καταφιλῶ] καὶ φιλῶ P καὶ] μου F[1], μου καὶ F[2] 9 ἀσπάζομαι] ἀσπάσομαι P μοι] μου P[1], om. Gaulm. 10 ἀγγέλλουσαν] ἀγγέλλοντα JVδ (praeter κ) 11 καὶ πάλιν — 20 ἐχαρίσατο] om. V 11 πρὸς] om. B Ζεὺς] ζεὺς ἐγὼ O 14 ὑπερπερκάσαντα] ὑποπερκάσαντα JVδ (praeter κ) στάχυν] ἄσταχυν Hercherus θερίζω] θερίσω R 14 sq. κεκυφότα πρὸς] ἐκκεκυφότα πρὸς κ, καὶ κυφότα πρὸς O, κεκυφότατος P 16 θλίβων] θλίβω J 17 τὴν] τὸν Gaulm. χεῖρα] θύραν JK 19 πείσεις] πείσῃς Τζ πείσῃς] πείσεις J με] μοι R 19 sq. λέγουσαν] λέγουσα GRζ 20 οὐδὲ — γάμον] om. P[2] γὰρ — γάμον] om. T γάμον] ἔρωτα γάμον N[1].

5 Ταῦθ' ἡμεῖς ἐρωτικῶς ἐμαχόμεθα καὶ παίζοντες ἐσπουδάζομεν· καὶ ὁ Κρατισθένης περὶ τὴν πύλην γενόμενος "Ὑσμινία" φησίν· ἐγὼ δὲ πρὸς τὴν κόρην "ὁ Κρατισθένης" φημί· τὴν γὰρ ἀκοὴν ὅλην εἶχον ἀπηωρημένην τῆς τοῦ Κρατισθένους φωνῆς· καὶ ὀφθαλμοὶ μέν μοι καὶ χεῖρες
2 πρὸς τὴν παρθένον, ὁ δέ γε νοῦς πρὸς αὐτόν. Καὶ σὺν τῇ παρθένῳ τῆς κλίνης ἀνέστημεν ἐξ αἰδοῦς καὶ χαρᾶς· καὶ περὶ τὴν πύλην γενόμενοι "χαίροις" τῷ Κρατισθένει φαμέν· ὁ δ' "οὐχ ἕδρας" φησὶ "καιρός· περὶ τὸν λιμένα γενώμεθα, τῆς νεὼς ἐπιβῶμεν, ἀποβῶμεν τῆς Εὐρυκώμιδος."

6 Ταῦτ' εἶπε καὶ κατήρχετο τῆς ὁδοῦ, καὶ ἡμεῖς συνει- 229
πόμεθα. Καὶ δὴ περὶ τὸν λιμένα γενόμενοι καὶ τὰς χεῖρας ὅλας πρὸς αὐτὸν ἀνατεινάμενοι τὸν λαμπρὸν οὐρανὸν "Ζεῦ πάτερ" ἐλέγομεν, "σοὶ καὶ τοῖς σοῖς αἰνίγμασι
2 καθυπείκοντες ταύτην στελλόμεθα. Σὸς παῖς ἡμᾶς Ἔρως πολιορκεῖ καὶ πατρίδων ἡμῶν ἐφέλκεται λάφυρον. Σὺ δ', ὦ Πόσειδον, ἐκ μεταφρένου πνεῦσον, μὴ κατὰ μέτωπον· μὴ πρὸς πνεῦμα πανεύδιον ἀντιπνεύσῃς Διός, μὴ πρὸς Ἔρωτος ζέφυρον, οἷς ἡμεῖς εὐκραῶς περὶ τὸν λιμένα γεγόναμεν."

2 περὶ] παρὰ Gaulm. 3 τὴν — 6 αὐτόν] τὸν κρατισθένην ἀκούσας θύραζε κρούοντα πρὸς τὴν κόρην φημὶ ὁ κρατισθένης ἐστίν V 5 μοι] om. B χεῖρες] χεῖραις N, χεῖρας O 6 γε] om. B 8 καὶ περὶ — 9 φαμέν] om. B 8 περὶ] παρὰ Gaulm. πύλην] κλίνην ϑ 9 περὶ] παρὰ Gaulm. 10 γενώμεθα] γενόμεθα Vζ, γενόμενοι Gaulm. (γενώμενοι D) 1. τῆς] καὶ τῆς B 12 κατήρχετο] κατείρχετο VR 13 δὴ] om. Vε (praeter κ) περὶ] παρὰ Gaulm. (D) γενόμενοι] γινόμενοι V 13 τὰς — 112, 1 καὶ] om. V 14 ὅλας] om. B πρὸς αὐτὸν ἀνατεινάμενοι] ἀνατεινάμενοι πρὸς αὐτὸν B ἀνατεινάμενοι] ἀνατεινόμενοι R 15 Ζεῦ] ζεὺς G ἐλέγομεν] λέγοντες η (praeter κ) 16 καθυπείκοντες] καθυπήκοντες BR παῖς] γὰρ παῖς λ, om. B ἡμᾶς Ἔρως] ἔρως ἡμᾶς N 17 πατρίδων] πατρίδος κ 17 sq. ὦ Πόσειδον] ὦ ποσειδῶν η (praeter κ), ὦ πόσειδων (sic) λ, ὅπως ἰδών M, αὕτως ἰδών C, ὄντως ἰδών P^{1} 19 μὴ] om. G ἀντιπνεύσῃς] ἀντιπνεύσοις JK, ἀντιπνεῦσαι B, ἀντιπνεύσας G 20 ἡμεῖς] ἡμεῖς οὐκ N^{1} περὶ] παρὰ R.

7 Ταῦτ' εἰπόντες καὶ τῆς νεὼς ἐπιβάντες, ἐξ οὐρίας
ἐπλέομεν· ὁ γὰρ δὴ τὰ πρῶτα γλυκὺς Ποσειδῶν ὅλος
ἀπὸ πρύμνης ἐξέπνευσε καὶ τὸ ἱστίον κατακυρτώσας καὶ
2 πτερώσας τὴν ναῦν μεθ' ἡδονῆς ἡμᾶς μετεκόμιζεν. Ἐγὼ
δ' εἶχον κλίνην τὴν ναῦν καὶ στρωμνὴν τῆς παρθένου τὰ
γόνατα καὶ ὅλος ἀνακλιθεὶς οὕτως ἡδέως ὕπνωττον ὡς
οὐδέποτε, νὴ τὸν Ἔρωτα· ἡ δέ μοι παρθένος κατεπι-
θεῖσα τὸ στόμα καὶ τοῖς ὀφθαλμοῖς καὶ τοῖς χείλεσιν
ἀψοφητὶ κατεφίλει με, καὶ ἦν ἡ ναῦς παρ' ἡμῖν καὶ παστὰς
3 καὶ κλίνη καὶ στρωμνὴ καὶ δωμάτιον. Οὕτως Ἔρως εἰς
ψυχὴν ἐμπεσὼν καὶ ὅλην καταδουλώσας αὐτὴν τῶν μὲν
ἄλλων πάντων πείθει καταφρονεῖν, ὅλην δὲ πρὸς ἑαυτὸν
μεθαρμόζεται.

8 Οὕτω μὲν οὖν εἶχε τὰ τῆς νυκτός· ἐπεὶ δ' ὑπὲρ
γῆν ὁ ἥλιος γέγονε καὶ νὺξ οὐδαμοῦ, πνεῖ Ποσειδῶν
κατὰ μέτωπον καὶ ὅλος ἐκ πρώρας ἡμῖν καταντιπνεῖ, καὶ
2 ὅλην τὴν ναῦν φιλονεικεῖ καταδῦσαι τοῖς κύμασι καὶ ὅλην
εἰς βυθὸν ἀγαγεῖν σὺν αὐτοῖς πλωτῆρσι, σὺν αὐτῷ φόρτῳ,
σὺν αὐτοῖς σίμβλοις Ἔρωτος, ἃ μεστὰ μέλιτος ἐρωτικοῦ
τὴν καλὴν εἶχεν Ὑσμίνην καὶ τὸν Ὑσμινίαν ἐμέ, κἂν

2 ἐπλέομεν] ἐσπλέομεν B ὁ] ὁ μὲν F ὅλος] ὅλως O[1] 3 κατακυρτώσας] κυρτώσας κ 4 μεθ' — 5 ναῦν] om. F[1] 4 μετεκόμιζεν] κατεκόμιζεν Gε (praeter κ) 6 ὅλος] ὅλως J ὕπνωττον] ὕπνωτο ζ 7 οὐδέποτε] οὐδέπωτε O 7 sq. κατεπιθεῖσα] κατεπιθεῖσά μοι JKVζ 8 στόμα] στόμα τῷ στόματι ε (praeter B) 9 2. καὶ] om. V 11 ὅλην] ὅλον R 12 δὲ] καὶ Teucherus ἑαυτὸν] αὑτὸν ζ 13 μεθαρμόζεται] μεθαρμόττεται Hercherus 15 γῆν] τὴν γῆν P[1] καὶ νὺξ οὐδαμοῦ] om. η πνεῖ Hercherus, πνεῖ καὶ α 16 ὅλος GVRκ, ὅλου P, ὅλον rell. πρώρας V, πρώρης rell. ἡμῖν] ἡμῖν κατάντικρυς (— τίκρυς Le Basius) ε (praeter B), post ἡμῖν spatium 10 litt. J καταντιπνεῖ BGK, κατὰ ἀντιπνεῖ R, ἀντιπνεῖ (πνεῖ N) JVε 17 κύμασι] ὕδασι R 19 σίμβλοις] σύμβλοις Aλ ἃ μεστὰ μέλιτος] ἀμεταμέλιτος R ἃ] αἳ V, ἅπερ B, οἵπερ F[2] μεστὰ μέλιτος ἐρωτικοῦ] μέλιτος ἐρωτικοῦ μεστὰ N μεστὰ] μετὰ Gκ ἐρωτικοῦ] ἐρωτικὸν P 20 εἶχεν] εἶχον κ.

Ποσειδῶν ἀντὶ μέλιτος ἀψινθίου πληροῦν ἀντεμάχετο.
3 Ἀλλ' ὢ κλύδωνος ἐλεεινοῦ καὶ ναυαγίου πικροῦ. Ἡ μὲν 230
ναῦς ταῖς τῶν πνευμάτων ἀντιπνοίαις κατερριπίζετο καὶ τοῖς
κύμασιν ἐπεκλύζετο, καὶ ἡμεῖς πάντες καὶ πρὸ τοῦ βυθοῦ
τὴν ψυχὴν ἀπεφυσῶμεν τοῖς κύμασι καὶ ἤδη ταύτην ἀπε-
τιθέμεθα.

9 Ἡ δέ μοι παρθένος ὅλην ἑαυτὴν ἀπαιωρήσασα τῷ
τραχήλῳ μου, ὀδυνηρότερον ἄλλο καὶ βιαιότερον ἐξήγειρέ
μοι κλυδώνιον, ὅλας θαλάσσας δακρύων ἐκκενοῦσα τῶν
ὀφθαλμῶν καὶ ὅλον με κατακλυδωνίζουσα καὶ τῇ γλώσσῃ
καὶ τῇ περιπλοκῇ καὶ τοῖς δάκρυσιν "Ὑσμινία" λέγουσα,
2 "σῶσον Ὑσμίνην τὴν σήν· πνεῦμα θρασὺ τῆς σῆς χειρὸς
ἀφαρπάζει με· ἀπηνὲς πνεῦμα σήν με λαμπάδα ταύτην
ἐρωτικὴν ἀποσβέννυσι· μέγα κῦμα θαλάσσης πῦρ ἐρωτι-
3 κὸν ἐπικλύσαι φιλονεικεῖ. Οὐ πατήρ, οὐ μήτηρ, οὐ πατρίς,
οὐ τὰ κατ' οἶκον λαμπρὰ σῆς με φιλίας ἐστέρησε, καὶ
νῦν πνεῦμα καὶ κῦμα τῆς σῆς χειρὸς ἀφαρπάζει με. Ἔρως
ἡμᾶς ἀλλήλοις ἐδουλογράφησε, καὶ Ζεὺς ἐν θύμασι τὴν
ἁρπαγὴν ὑπηνίξατο· ὁ δέ γε θρασὺς καὶ ἄγριος Ποσειδῶν

1 ἀντεμάχετο F corr. JTR, ἀνεπεμάχετο AF[1]λ (ἀντεπεμάχετο X[2]), ἀπεμάχετο GKVζκ 2 ἐλεεινοῦ scripsi, ἐκείνου α πικροῦ V, πιπλοῦ P, διπλοῦ rell. 3 πνευμάτων] κυμάτων Rε ἀντιπνοίαις] ἀντιπνοίας P 4 ἐπεκλύζετο] ἐπικλύζετο R 4 καὶ ἡμεῖς — 5 κύμασι] om. V 4 2. καὶ] om. R βυθοῦ] βυθοῦ καὶ J 5 τὴν ψυχὴν] τὰς ψυχὰς G ἀπεφυσῶμεν] ἀπεφυσσῶμεν R, ἀφυσῶμεν G[1], ἀπεφυσοῦμεν ε (praeter κ) 5 sq. ἀπετιθέμεθα] ἐπετιθέμεθα Gaulm. (D) 7 ἑαυτὴν] ταύτην B, αὑτὴν Pη, αὐτὴν CMG ἀπαιωρήσασα] ἀπαιωρίσασα ε (praeter BX), ἀπῃωρήσασα V 7 sq. τῷ τραχήλῳ] τοῦ τραχήλου Hercherus, sed retractavit in adnot. 8 μου] μου καὶ G καὶ] om. F[1] 9 μοι] μου ε (praeter B) ἐκκενοῦσα] ἐκκενώσασα R 10 2. καὶ] om. ζ 13 1 με] με ἔρις V 13 ἀπηνὲς — 17 με] om. B 13 σήν] τὴν σήν η (praeter B) 2. με] om. O 15 ἐπικλύσαι] περικλῦσαι G πατήρ] πῦρ P οὐ μήτηρ] om. P 16 οἶκον] οἴκους G, οἶτον F ἐστέρησε] ὑστέρησαν V 17 χειρὸς ἀφαρπάζει με] ἀφαρπάζει χειρός N[1], ἀφαρπάζει με χειρός N[2] 18 ἡμᾶς ἀλλήλοις Hercherus, ἀλλήλοις ἡμᾶς FM, ἀλλήλους ἡμᾶς ACJPTλ, ἡμᾶς ἀλλήλους rell.

ὄρη κυμάτων ἐγείρει καὶ πρὸς αἴνιγμα Διὸς ἀντιπνεῖ καὶ
4 ὅλον δουλογραφεῖον ἐρωτικὸν ἐκπλύνει τοῖς κύμασιν. Ἔφυγον
τὸν πατέρα, τὸ δὲ ναυάγιον οὐκ ἐξέφυγον· ἔλαθον τὴν
μητέρα, σὲ δέ, Πόσειδον, οὐ διέλαθον. Ἀλλ', ὦ μῆτερ,
νῦν προσφορώτατόν σοι τὸ δάκρυον· παρθένος τῶν σῶν
ἀπεσυλήθην χειρῶν, καὶ παρθένος εἰς Ἅδου μετακομίζομαι.
5 Τοῦτό σοι καὶ ὁ ἀετὸς ὑπηνίττετο. Ναῦς μοι παστὰς
καὶ κῦμα τάφος καὶ πνεύματος ἦχος ὑμέναιος καὶ ἡ
6 νύμφη παρθένος ἐγώ. Ἀλλ' ὢ καινῆς ταύτης παστάδος,
ὢ γάμου πικροῦ, ὢ φυγῆς ἀθλίας ἡμῶν. Καπνὸν φεύγοντες εἰς πῦρ ἐμπεπτώκαμεν, καὶ πυρὶ τυραννούμενοι
θαλάσσαις κατακλυζόμεθα. Ὦ τύχης ἡμῖν ἀπηνὲς πνεούσης καὶ ἄγριον καὶ θανατούσης ἡμᾶς καὶ πυρὶ καὶ τοῖς 231
ὕδασι."

10 Ταῦτ' ἔλεγεν ἡ κόρη, καὶ τοὺς μὲν ὀφθαλμοὺς πρὸς
τὰ τῆς θαλάσσης εἶχεν ἐρίζοντας κύματα, τὴν δέ γε
γλῶσσαν πρὸς τὸν βιαιότατον ἦχον τοῦ πνεύματος, καὶ
πρὸ κλυδωνίου καὶ βυθοῦ καὶ θαλάσσης ὅλην μου κατεκλυδώνιζε
2 τὴν ψυχήν. Ἐγὼ δὲ πρὸς αὐτὴν "Ὑσμίνη
παρθένε (ταύτην γάρ σοι τὴν κλῆσιν τὸ δαιμόνιον ἐχαρί-

1 ἐγείρει] καταδυ ἀντιπνεῖ ἐγείρει N[1] 2 ὅλον δουλογραφεῖον ἐρωτικὸν] ὅλων δουλογραφίων ἐρωτικῶν ζ δουλογραφεῖον] δουλογραφίον G, γραφεῖον V 3 τὸν πατέρα] τὴν μητέρα V 3 sq. ἔλαθον τὴν μητέρα] ἔφυγον τὸν πατέρα V 4 Πόσειδον] ποσειδῶν Rε (praeter κ) 5 τῶν — 6 παρθένος] om. T 6 ἀπεσυλήθην] ἀπηλάθην G παρθένος] παρθένος δ' F[1], παρθένος τῶν σῶν N[1] Ἅδου] ἅδην V 7 ὁ] om. GRκ ὑπηνίττετο] ὑπαινίττετο V, ὑπαινίττοιτο G 8 1. καὶ] om. M τάφος] κλίνη J, θάλαμος Le Basius 2. καὶ] om. V πνεύματος] πνεῦμα B 3. καὶ] om. T ἡ] om. ε (praeter B) 9 καινῆς] κενῆς Tζ 10 ἡμῶν] ἡμῖν V[1] 11 ἐμπεπτώκαμεν] ἐνεπέσομεν V καὶ] om. B 12 ἡμῖν] ἡμῶν V 13 θανατούσης] θάνατον σης (sic) P 3. καὶ] om. κ πυρὶ] περὶ P 15 ταῦτ'] ταῦτα δὲ AF[1]λ μὲν] om. V 16 εἶχεν] εἴχω P[1] ἐρίζοντας BGKR, ἐρείδοντα ζ, ἐρείδοντας rell. γε] om. ε (praeter B) 17 βιαιότατον] βιαιότερον KP[1] ἦχον] εἶχον P 18 πρὸ] πρὸ τοῦ κ 2. καὶ] om. BK 20 παρθένε] μοι παρθένε K 20 sq. τὸ δαιμόνιον ἐχαρίσατο] ἐχαρίσατο τὸ δαιμόνιον BJK, ἀπεχαρίσατο τὸ δαιμόνιον G.

σατοί, εἰς κενὸν ἡμῖν καὶ φυγὴ καὶ τἆλλ' ὁπόσα μάτην
3 ἐμελετήσαμεν· ἐμὲ δ' ὄντως Ἔρως κατέπαιζε, καὶ τοὺς
ὀνείρους, οὓς μοι κατέπλαττεν, ὄντως ὀνείρους ὁρῶ καὶ
ὕπνους σαφεῖς· ὅλους γὰρ κρατῆρας πυρός, οὓς εἰς αὐτήν
μοι μέσην καρδίαν ἐξέκαυσε, κῦμα θαλάσσης κατασβέσαι
4 φιλονεικεῖ. Ἀλλὰ κἂν ὅλας θαλάσσας ἐρεύξωμαι, οὐ
κατασβέσω τὴν φλόγα, ἣν περὶ τὴν ἐμὴν ταύτην ψυχὴν
Ἔρως ἐξ ὕλης Ὑσμίνης ταύτης ἀνέφλεξε. Καὶ συμπλα-
κήσομαί σοι, παρθένε, καὶ τοῖς κύμασι συστεφανωθήσομαι,
5 ὑγράν σοι παστάδα πηξάμενος. Ἴσως καὶ Ποσειδῶν
ἐλεήσει τὴν συμπλοκήν. Ὄντως ναῦς αὕτη νεκροπομπὸς
εἰς Ἅδου μετάγουσα, ὄντως παστὰς Ἀμφιτρίτης καὶ Περ-
σεφόνης νυμφών, ὄντως μυθευομένη Σειρήν."

11 Ἡ δέ μοι κόρη φησὶν "ἀρὰ μητρὸς κατεπεγείρει
μοι τὸ κλυδώνιον· χεῖρες μητρὸς εἰς οὐρανὸν αἰρόμεναι
2 πρὸς βυθὸν ὠθοῦσιν ἡμᾶς καὶ ὅλους καταποντίζουσιν. Ὦ
γλῶσσα μητρὸς ἡμᾶς κατακλύζουσα, ὢ χεῖρες ἐκείνης ὅλας
θαλάσσας ταύτας ταράττουσαι, ὢ ζέσις ψυχῆς ἐκείνης
τὰς ἡμετέρας ταύτας παντελῶς καταψύχουσα· ἤδη γὰρ

1 κενὸν] καινὸν BFO 1. καὶ] ἢ B, om. V τἆλλ'] om. B ὁπόσα] ὅσα B 2 ὄντως Ἔρως] οὕτως ἔρως η (praeter κ), ἔρως ὄντως K, Ἔρως οὕτως Osannus κατέπαιζε] κατέπαιξε G 3 οὓς — ὀνείρους] om. λ μοι] μοι μάτην ζθ 4 γὰρ] om. V 5 μοι] μου PV μέσην] μέσην τὴν B κῦμα θαλάσσης] μέγα κῦμα V 6 ὅλας] τὰς O, ας X[1] ἐρεύξωμαι] ἐρεύξομαι VR, ἐξερεύξωμαι AFN, ἐξερεύξομαι T, ἐξερεύγωμαι X, ἐξερεύωμαι O 7 κατασβέσω] κατασβέσει κ 8 ταύτης] ante ὑσμίνης κ, om. Jη ἀνέφλεξε] κατέφλεξε B 9 σοι] σου AF[1]NO συστεφανωθήσομαι] συστεφανωθήσωμαι V[1] 11 ἐλεήσει] ἑλκύσει V ὄντως] οὕτως P 12 Ἅδου] ἅδην B μετάγουσα] μετακομίζουσα η (praeter κ), κατακομίζουσα V ὄντως] οὕτως P Ἀμφιτρίτης scripsi, ἀφροδίτης α 14 ἀρὰ GV, ἄρα R, παρὰ Jδ κατεπεγείρει] κατεγείρει G, κατεπεγείρεταί ε (praeter B) 15 μοι] μου F[1]GN, με V εἰς] πρὸς G[1] 16 βυθὸν] βαθὴν V[1] ὅλους] ὅλως R 17 μητρὸς] μὴ πρὸς λ 17 ὅλας — 18 ἐκείνης] om. λ 19 καταψύχουσα] om. B.

3 κατὰ τὴν ποίησιν Ἀίδαο γευόμεθα κρυεροῦ. Ἀλλ', ὦ
μῆτερ, ἐπίσχες τὴν γλῶσσαν, ἵνα καὶ Ποσειδῶν τὸ κλυ-
δώνιον· σύσχες τὰς χεῖρας, ἵνα τῶν κυμάτων ἀπολυθῶμεν
ἡμεῖς· φεῖσαι τῶν ἡμετέρων ψυχῶν· στῆσον τὸ δάκρυον, 232
ἵν' ἐξάξῃς ἡμᾶς ἀπὸ ζάλης, ἀπὸ κυμάτων, ἀπὸ σάλου
4 καὶ κλύδωνος." Καὶ πρός μέ φησιν "ἰδού μοι τὰ τῶν
συνθηκῶν πέρας δέχεται· σὺν σοὶ θανοῦμαι, τοῦτό μοι
παραμύθιον· οὕτω μοι καὶ τὸ ζῆν ποθητὸν καὶ τὸ θα-
5 νεῖν οὐκ ἀνέραστον. Οὕτω μὲν οὖν ἡμεῖς καὶ πρὸ τοῦ
θανάτου συναπεθνήσκομεν καὶ τὰς ψυχὰς πρὸς Ἅδου
μετεβιβάζομεν καὶ παρθένους ἐφυσῶμεν αὐτάς, ἐλευθέρας
ἐξ ἀρετῆς καὶ δούλας ἐξ ἔρωτος καὶ δοχεῖα μεστὰ τῶν
ἐξ ἔρωτος."

12 Ὁ δέ γε κυβερνήτης φησὶν "ἄνδρες συμπλωτῆρες,
ἄνδρες συγκλυδωνιζόμενοι καὶ συναποθνήσκοντες, τὸ πνεῦμα
θρασὺ καὶ τὸ κῦμα πυκνὸν καὶ μέχρι νεφῶν ἀνυψούμενον·
τὸ ἱστίον διέρρηκται, τὸ σκάφος ὑδάτων θαλάσσης μεστόν,
ἐμοὶ δ' οὐκέτι σθένος ἀντέχειν πρὸς τοσοῦτον ὄγκον
θαλάσσης καὶ βιαιότητα κλύδωνος καὶ πνευμάτων ἀντί-
2 πνοιαν. Ἅλις μοι τῶν ναυμαχημάτων· ὅλος καθ' ἡμῶν

1 κατὰ τὴν ποίησιν Ἀίδαο] ἀίδαο (ἀίδα F, ἀίδας O) κατὰ τὴν ποίησιν Jδ (praeter B) 2 μῆτερ] μήτηρ V 2 sq. τὸ κλυδώνιον] καὶ τὸ κλυδώνιον ἐάσῃ B 4 φεῖσαι] φεῖσον η (praeter BN) ψυχῶν] ψυχῶν, ἵνα ** Hercherus 7 σὺν — 8 παραμύθιον] trimeter iambicus Osanno iudice 8 μοι] om. V ποθητὸν] ποθεινὸν Vη (praeter B) 10 συναπεθνήσκομεν] συναποθνήσκομεν Kη (praeter B) πρὸς] εἰς B Ἅδου] ἅδην β 11 μετεβιβάζομεν] μεταβιβάζομεν AF^1Kζμ ἐφυσῶμεν] ἐκφυσῶμεν X^2, φυσῶμεν Hercherus 12 2. καὶ — 13 ἔρωτος] om. Vι 12 τῶν] χαρίτων? 13 ἐξ] om. F 15 ἄνδρες] om. FPX^1 συγκλυδωνιζόμενοι καὶ συναποθνήσκοντες] om. F^1P τὸ] καὶ τὸ Gaulm. 16 1. καὶ] om. β 2. καὶ] om. Jε (praeter B) 19 βιαιότητα κλύδωνος R, βιαιότατα πνεύματα $BGJK^2$, βιαιότατον πνεύματος K^1, βιαιότατον πνεῦμα Vε, βιαιότατα κύματα Graessius 20 ναυμαχημάτων] ναυαγημάτων K.

Ποσειδῶν. Τί μὴ κατὰ τὸν νηίτην νόμον (καὶ κλῆρος ὁ
νόμος) χοὰς ἱκετηρίους σπενδόμεθα καὶ τὸ θῦμα κληρού-
μεθα;"
3 Ταῦθ' ὁ κυβερνήτης ἔλεγε καὶ λέγων ἐδάκρυεν, ἡμεῖς
δ' ἐπὶ τὸν κλῆρον, κακῷ τὸ κακὸν θεραπεύοντες. Καὶ
κλῆρος ἐπὶ τὴν Ὑσμίνην θανάτου, καὶ καινὸν πῦρ καὶ
4 ἱερεὺς καὶ βωμὸς αὐτοσχέδιοι· ἡ θάλασσα πῦρ καὶ τὸ
κῦμα βωμὸς καὶ ἱερεὺς ὁ καλὸς κυβερνήτης, ὁ τὸν νηίτην
νόμον τιμῶν, θῦμα δ' (ἀλλὰ μή μοι, καρδία, ῥαγῇς)
Ὑσμίνη παρθένος, ἣν ὅλην συμπλακεὶς καὶ περιπλακεὶς
ὁ πολύτλας ἐγὼ πρὸς τὸν τοῦ σκάφους κατέδυν πυθμένα.
13 Ὁ δέ γε Κρατισθένης κατεδυσώπει τὸ ναυτικὸν
"φείσασθε" λέγων "κάλλους παρθενικοῦ καὶ νεότητος·" 233
ἀλλ' ἡ κατὰ τὴν τραγῳδίαν καὶ πυρὸς κρείττων ἀναρχία
ναυτικὴ μικροῦ δεῖν καὶ τὸν Κρατισθένην παρεδίδου τοῖς
2 κύμασι καὶ τὴν Ὑσμίνην ἀπέσπα μου τῶν χειρῶν. Ὁ δέ γε
κυβερνήτης ἐν ἀλλοτρίαις φιλοσοφῶν συμφοραῖς ἀπεφοίβαζε
"καὶ Χρυσηὶς ἀπεσπᾶτο χειρῶν Ἀγαμέμνονος βασιλέως· ἀλλὰ
μῆνις Ἀπόλλωνος ἐμαλάσσετο, καὶ λοιμοῦ στρατὸς ἀπηλ-
λάσσετο· τοίνυν καὶ ταύτην ἡμεῖς τῷ ἡμετέρῳ θεῷ

1 κατὰ] καὶ V 1 sq. καὶ κλῆρος ὁ νόμος] haec verba transposui; in α leguntur post σπενδόμεθα; αὐτῷ καὶ κλῆρος ὁ νόμος V, κλῆρος ὁ νόμος ε (praeter B); ut glossatoris additamentum haec eiecit Hercherus 2 χοὰς] φωνὰς R ἱκετηρίους] οἰκετηρίους V, οἰκητηρίους ζ 4 ἔλεγε] om. BGJKR 5 τὸ] τὸν P θεραπεύοντες] θεραπεύσοντες Gaulm. (D) 6 καινὸν] κενὸν N[1]VRζ 7 καὶ βωμὸς] om. R[1] αὐτοσχέδιοι AGKTζ, αὐτοσχέδιος rell. 2. καὶ] om. V 8 ὁ καλὸς] ἐσθλὸς B 9 ῥαγῇς] ἄρτι ῥαγῇς λ, διαρραγῇς G 10 ὅλην συμπλακεὶς καὶ] om. B ὅλην] om. V καὶ περιπλακεὶς] περιπλακεὶς καὶ καταπλακεὶς B, om. O 11 τὸν] om. N 12 γε] om. B τὸ] τὸν ζ 13 φείσασθε] φείσασθαι NPVR, καὶ φείσασθε B παρθενικοῦ] παρθενικῆς K 14 ἡ] ὁ O τὴν] τὴν παρ N[1] ἀναρχία] ναυαρχία R 15 δεῖν] δεῖ B, δὴ V παρεδίδου] παρεδίδουν Bζ 16 ἀπέσπα] ἀπέσπασέ B, μὲν ἀπέσπα Gaulm. 17 ἐν] ἐπ' V 18 χειρῶν] χειρὸς R βασιλέως] βασιλέως χειρῶν J ἀλλὰ] ἀλλὰ καὶ Jδ (praeter B) 19 λοιμοῦ] λιμοῦ B 20 τοίνυν — 118, 1 καταθύσωμεν] τοι θύσωμεν X[1], τοίνυν θύσωμεν καὶ ἡμεῖς X[2].

καταθύσωμεν καὶ ὅλην τοῖς κύμασι καταδύσωμεν καὶ
ψυχὰς ἡμετέρας ἀπὸ κλύδωνος σώσωμεν."

14 Ταῦθ' ὁ μεγαλίστωρ κυβερνήτης ἐφ' ὑψηλοῦ κα-
θήμενος ἐρρητόρευεν· ἀλλ' οὐκ ἀπεσπᾶτό μου τῶν χειρῶν
ἡ παρθένος, "ἢ τὰν ἢ ἐπὶ τὰν" κατὰ Λάκαιναν ἐν ἀσπίδι
γνωματευομένου· καὶ ἦν ὅλος ἄρης ἡ ναῦς καὶ κλύδων
2 πολυειδής. Ὁ μὲν δὴ τῆς θαλάσσης σάλος ἐφιλονείκει
τὴν ναῦν εἰς βυθὸν καὶ πυθμένα θαλάσσης καταγαγεῖν,
τὸ δέ γε ναυτικὸν ἐκ τοῦ πυθμένος τοῦ σκάφους καὶ
χειρῶν τούτων ἐμῶν τὴν κόρην μεθείλκοντο· αἱ δέ μου
χεῖρες κατὰ τὴν Ἀβραδάτου τῇ κόρῃ συνείποντο, καὶ
ὅλος ἐγὼ συμμεθειλκόμην τοῖς ἕλκουσι καὶ κατεδυσώπουν
συμπαραδοῦναί με τῷ βυθῷ καὶ συνθῦσαι τοῖς κύμασιν.
3 Οἱ δ' ἐλεοῦντες ἐπείθοντο, ἢ μᾶλλον ἠλέουν μὴ πεί-
θοντες· ἀλλ' ὁ τὰ πάντα σοφὸς κυβερνήτης καὶ πάλιν

1 1. καὶ — καταδύσωμεν] om. G 2 ἀπὸ] ἐκ V 3 μεγαλίστωρ] μεγαλήστωρ R, μέγιστος V, μεγαλήτωρ? Le Basius 4 ἐρρητόρευεν] ἐρητόρευσεν P 5 ἢ τὰν ἢ ἐπὶ τὰν] ἢ τὰν ἐπὶ τὰν O[1], ἥτ' ἂν δὴ ἐπιτανὸν ζ 5 sq. κατὰ Λάκαιναν ἐν ἀσπίδι γνωματευομένου scripsi, ἐν ἀσπίδι κατὰ λάκαιναν γνωμαντευομένου R, ἐν ἀσπίδι γνωμα(αν P)τευομένου κατὰ λάκαιναν BP, ἐν ἀσπίδι μου γνωμα(αν Χθ)τευομένου μου κατὰ λάκαιναν θλ, ὡς „ ἐν ἀσπίδι γνωματευομένου μου κατὰ λάκαιναν V, ἐν ἀσπίδι γνωμαν (—μα— G) τευομένου μου κατὰ λάκαιναν CF[2]GM, γνωματευομένου μου κατὰ Λάκαιναν Hercherus 7 δὴ] om. G 8 πυθμένα θαλάσσης] θαλάσσης πυθμένα Vε καταγαγεῖν] μεταγαγεῖν V 9 γε] om. BFV 1. τοῦ] om. β τοῦ σκάφους καὶ] ἐκ G 10 χειρῶν] τῶν χειρῶν J μεθείλκοντο R, ἀπέσπασεν G[1], μεθείλκετο rell. 11 τὴν ἀβραδάτου R, τὴν αὐραδάτου BGJKV, ναυραδάτου F[2], συναβραδάτου ζθ, συ(ση—O)ναφραδάτου λ 12 ὅλος] ὅλως B ἐγὼ] om. R συμμεθειλκόμην] μεθειλκόμην B καὶ] om. VR κατεδυσώπουν] κατεδυσωπούμην Rη (praeter B) 13 με] μοι G συνθῦσαι] συνδῦσαι K, ξυγκαταδῦσαι? Hercherus 14 ἐλεοῦντες] ἀλγοῦντες V μὴ] με η (praeter κ), μοι ζ.

κατεφιλοσόφει, καὶ πάλιν κατερρητόρευε "Ποσειδῶν" λέγων "τὴν κόρην ζητεῖ· ἐπὶ ταύτην ὁ κλῆρος· αὕτη θῦμα καὶ λύτρον τῶν ἡμετέρων ψυχῶν· ἀποσπασθήτω τῶν τούτου χειρῶν, διαρραγήτω τῶν ὠλενῶν, παραδοθήτω τῷ 234
βυθῷ καὶ τοῖς κύμασι."

15 Τοίνυν ἀποσπᾶταί μου τῶν χειρῶν ἡ παρθένος, ἀποδύεται τὸν χιτῶνα καὶ ταῖς τοῦ κυβερνήτου χερσὶ γυμνὴ παρατίθεται· ὁ δὲ τὰ πάντα σοφὸς καὶ κυβερνήτης καὶ ἱερεὺς καὶ θύτης καινὸς τὴν κόρην λαβὼν καὶ ὅλους τοὺς
2 ὀφθαλμοὺς τοῖς κύμασιν ἐμβαλὼν καὶ "τοῦτό σοι θῦμα,
11 δέσποτα Ποσειδῶν, καὶ λύτρον" εἰπὼν (ἀλλὰ μή μοι τὸ τῶν ὀδόντων ἕρκος ἐκφύγῃς, ψυχή) τῆς νεὼς τὴν κόρην ἐξεσφενδόνησε καὶ ὅλην ἀφῆκε τοῖς κύμασιν· ἐγὼ δ' ὅλην τὴν φωνὴν καὶ αὐτὴν τὴν ψυχὴν συναφῆκα τῇ κόρῃ καὶ ὅλην τὴν ναῦν ἐφιλονείκουν κατακλύσαι τοῖς δάκρυσιν "Ὑσμίνη" λέγων "Ὑσμίνη."

16 Ἡ δ' ὅλον ὥσπερ καταπιοῦσα τὸν κλύδωνα καὶ ὅλας ἐξερευξαμένη θαλάσσας καὶ ὥσπερ τις ἄμπωτις ὅλους

1 κατεφιλοσόφει, καὶ πάλιν] om. λ κατερρητόρευε] κατερρητόρευσε P 1 sq. λέγων τὴν κόρην BGR, τὴν κόρην λέγων rell. 3 ἀποσπασθήτω] ἀποσπαθήτω Le Basius 4 ὠλενῶν] ὠλενῶν καὶ V 6 τοίνυν] ἡ τοίνυν παρθένος η (praeter B) μου] om. V ἡ παρθένος] om. η (praeter B) 6 sq. ἀποδύεται τὸν χιτῶνα] om. B 8 παρατίθεται] γρ. παραδίδοται J[2] δὲ] δ' ὁ KV, δὴ θμ. 1. καὶ BGJK, om. rell. 9 2. καὶ — 10 ἐμβαλὼν] om. J 9 τοὺς] om. N 10 καὶ] om. η (praeter B) θῦμα] om. K 11 δέσποτα] om. G Ποσειδῶν] πόσειδον J καὶ λύτρον] λύτρον P, om. V εἰπὼν] ἐπειπὼν V μοι] om. ε (praeter κ) 11 sq. τὸ τῶν ὀδόντων ἕρκος] τὸ τῶν ὀδόντων ἕλκος V[1], τῶν ὀδόντων τὸ ἕρκος G, τῶν ὀδόντων ἕρκος B, τοῦ τῶν ὀδόντων ἕρκους K[2] 13 ἐξεσφενδόνησε] ἐξε(ηP)σφενδόνισε(—ν ζ) Vζ ἀφῆκε] ἀφεῖλκε ζ 14 φωνὴν] ψυχὴν V 2. τὴν] om. B ψυχὴν] φωνὴν V 15 κατακλύσαι] καταδῦσαι B, κατακλεῖσαι P[1] δάκρυσιν] ὕδασιν J 17 ὥσπερ] om. B 17 καὶ — 18 θαλάσσας] om. B 18 ἐξερευξαμένη] ἐξερευγομένη GV τις] om. GR ἄμπωτις] ἄμποτις BR.

ἀνέμους ἀναρροφήσασα νηνεμίαν τῇ θαλάσσῃ παρέσχε καὶ
γαλήνην ἐκ σάλου καὶ κλύδωνος· ἐμὴν δὲ ψυχὴν ὅλην
κατεκύκα καὶ ὅλην ἐτάραττε· καὶ τὸ μὲν δὴ ναυτικὸν
σὺν αὐτῷ κυβερνήτῃ γλυκάζον ἔαρ ἐδρέποντο καὶ ἡδονῆς
ποτήριον ἔπινον ἐξ οὕτω πικροτάτου καὶ σάλου καὶ
2 χειμῶνος καὶ κλύδωνος· ἐγὼ δὲ κόνδυ πικρίας καὶ ἀψινθίου
θαλάσσας ὅλας ἐκπεπωκὼς καὶ ὅλας τοῦ στόματος ἐκ-
κενῶν καὶ αὐτῶν ὀφθαλμῶν ὅλην ἥμην κατακλυδωνίζων
τὴν ναῦν, καὶ ἄλλον σάλον ἐγείρων καὶ δεύτερον κλύδωνα·
ὃν δὴ μὴ φέρων ὁ κυβερνήτης, ἀλλ' οἰωνὸν οὐκ ἀγαθὸν
τὸν θρῆνον οἰόμενος, περὶ τὴν χέρσον ἄγει τὴν ναῦν καί
με τῆς νεὼς ἐξεφόρτωσεν.

17 Ἐγὼ δὲ τῇ ψάμμῳ καὶ τῇ θαλάσσῃ παρακαθήμε-
νος ὅλην ἐξετραγῴδουν τὴν συμφοράν, χοὰς ἐπιτυμβίους
τῇ κόρῃ κατασπενδόμενος, "Ὑσμίνη" λέγων "Ὑσμίνη, 235
φῶς ἀπορρυέν μου τῶν ὀφθαλμῶν, ὄρνις ἀποπτᾶσά μου
τῶν χειρῶν (ὢ ναυαγίου πικροῦ καὶ κλύδωνος ἐλεεινοῦ, ὢ
γαλήνης μοι πικροτέρας καὶ κλύδωνος), σὺ μὲν ἀπήχθης
τῷ σάλῳ καὶ τῷ ῥοθίῳ τοῦ κύματος, ἐμοῦ δὲ κατε-

1 ἀνέμους] om. η (praeter X^2κ) ἀναρροφήσασα] ἀναρροφήσασα καὶ ὅλας ἐξερευξαμένη θαλάσσας B, καταρροφήσασα ε παρέσχε] παρεῖχε V 2 ἐκ σάλου καὶ] ἐκάλει ἐκ V ὅλην] om. V 3 κατεκύκα] κατεμύκα P^2 2 καὶ] om. B 4 αὐτῷ] τῷ θ, τὸ λ ἔαρ] om. P^2TX ἐδρέποντο] ἐδράποντο P, ἐδρέπετο R 5 οὕτω] ὅτου V 5 sq. καὶ σάλου καὶ χειμῶνος GR, χειμῶνος σάλου K, καὶ σάλου P^2T, σάλου B, χειμῶνος καὶ σάλου (ζάλου V) rell. 6 κλύδωνος] κλύδωνος ἔφυγον B 7 ἐκπεπωκὼς] ἐμπεπωκὼς GXζθ ὅλας] ὅλου G 8 αὐτῶν] αὐτῶν δὴ κ ἥμην] ᾤμην V, ἡμῖν P 9 ἄλλον η (praeter B), ὅλον rell. 10 ὃν] ὃ Hercherus φέρων ὁ κυβερνήτης] φέρον τὸ ναυτικὸν σὺν τῷ κυβερνήτῃ κ 11 οἰόμενος] ἡγούμενος η (praeter B) 14 ἐξετραγῴδουν] ἀντετραγῴδουν V 15 τῇ κόρῃ κατασπενδόμενος] τῇ κόρῃ σπενδόμενος J, σπενδόμενος η (praeter κ) 16 ὀφθαλμῶν — 17 τῶν] om. O 16 ὄρνις — 17 χειρῶν] om. V 17 ὢ — ἐλεεινοῦ] om. Teucherus 18 μοι] om. O πικροτέρας] μικροτέρας O, πικροτάτης V κλύδωνος BGVR, κλύδωνος καὶ F^2, om. Jδ 19 κύματος BGVR, κλύδωνος Jδ 19 sq. κατεβάπτισας] καταβαπτίσασα R.

βάπτισας τὴν ψυχὴν ὅλαις θαλάσσαις κωκυτῶν περι-
2 κλύσασα· καὶ σὺ μὲν ψυχὴν παρθένον ἐφύσησας, ὅλη
στεφανωθεῖσα τοῖς ὕδασιν, ἐμοῦ δὲ τὴν κεφαλὴν καὶ
ψυχὴν ἐλεεινῶς ἐστεφάνωσαν ὀδύναι καὶ γόοι καὶ δάκρυα·
θάλαμός σοι καὶ τάφος ἡ θάλασσα καὶ θαλαμηπόλος
3 ἐγώ· οὐκ ἐπιθαλάμιον ᾄσω σοι, οὐκ ἐπικροτήσω γαμή-
λιον, ἀλλ' ὡς ἐν κενηρίῳ τῇ ψάμμῳ πικρὰς ἐπιθανατίους
πλέξω σοι τὰς ᾠδὰς καὶ ὅλον χορὸν Νηρηίδων συγκαλε-
4 σάμενος ὅλον κατατραγῳδήσω μου τὸ δυστύχημα. Ὦ
κῦμα θαλάσσης ὅλην μου καταπικραῖνον τὴν αἴσθησιν,
ὦ κλύδων ὅλον νυμφῶνα καὶ νύμφην αὐτὴν κατεπικλύσας
τοῖς κύμασιν, ὢ δυστυχημάτων ἐμῶν, ὢ τύχης ὅλης
ἀντιπνεούσης ἡμῖν, ὢ φαρέτρας ἐκείνης, ἥν μοι κατὰ
5 καρδίας Ἔρως ἐκένωσε. Φεῦ ἀφροδισίου πυρός, οὗ μοι
κρατῆρας ὅλους Ἔρως ἀνῆψε κατὰ ψυχῆς. Ἀλλ', ὦ βασιλεῦ
Ἔρως, πάντων θεῶν βιαιότερε, ὦ ψυχὰς κατατυραννῶν,
ὦ βέλος πέμπων καὶ τοῖς ὀφθαλμοῖς συμμεθελκόμενος καὶ
τὰς ψυχάς, ὦ σπλάγχνα φλέγων καὶ ὅλας καρδίας κατα-

1 ὅλαις θαλάσσαις] ὅλας θαλάσσας B κωκυτῶν] κωκυτὸν ζ 1 sq. περικλύσασα] περικλύζουσα R 2 ψυχὴν παρθένον] παρθένον ψυχὴν η (praeter B) 2 sq. ὅλη στεφανωθεῖσα] ὅλην στεφανωθεῖσαν B 3 ὕδασιν BKVR, κύμασιν G, δάκρυσιν Jε κεφαλὴν καὶ] ψυχὴν καὶ V, om. κ 4 ψυχὴν Rκ, τὴν κεφαλὴν V, τὴν ψυχὴν rell. ἐλεεινῶς ἐστεφάνωσαν] ἐστεφάνωσαν ἐλεεινῶς R, ἐλεεινῶς κατεβάπτισαν V ὀδύναι] ὀδύνες V καὶ γόοι] om. B 5 σοι] μοι V 1. καὶ] om. B 6 1. οὐκ] ἀλλ' οὐκ Jδ (praeter B) 6 sq. γαμήλιον] γαμήλια ε (praeter κ) 7 ψάμμῳ] ψάμμω παρακαθήμενος V 8 σοι] μοί σοι R τὰς] om. R 8 ὅλον — 8 sq. συγκαλεσάμενος] om. Teucherus 10 ὅλην — 11 κλύδων] om. R 11 κλύδων] κλύδωνος V 12 ὅλης] om. η (praeter κ) 14 Ἔρως] om. η (praeter κ) οὗ] οὐ R μοι] μη V[1] 15 Ἔρως ἀνῆψε] ἀνῆψε ἔρως J, ἔρως ἐκένωσε καὶ ἀνῆψε V, ἀνῆκεν η (praeter κ) βασιλεῦ] βασιλεὺς P 16 βιαιότερε] βιαιότεραι R κατατυραννῶν] κατακεραυνῶν B, κατατυραννύς η 17 τοῖς ὀφθαλμοῖς] τοὺς ὀφθαλμοὺς GK[1]VRζκ συμμεθελκόμενος] συμμεθελκόμενον V, σ(ξ—η)υνεφελκόμενος ε (praeter B) 17 sq. καὶ τὰς B, καὶ GVR, τὰς Jδ 18 φλέγων] φέρων GV, καίων B 18 sq. καταπιμπρῶν] καταπιπρῶν ζ, κατεπιμπρῶν V.

πιμπρῶν· ὦ βασιλεῦ ὀνείρων, εἰ δ' οὐχὶ πάντων, ἀλλὰ μόνων ψευδῶν, οὗτος ὁ θρασὺς ἐλέγχει σε Ποσειδῶν.
6 Ὁπλίτην εἶδόν σε, καὶ τοῖς βέλεσι τέτρωμαι· πυρφόρον, καὶ ὅλην τὴν ψυχὴν καταπέφλεγμαι· πτερωτόν, καὶ τὸ
7 πτερὸν οὐκ ἐξέφυγον. Ἀλλ' ἤδη σοι καιρὸς καὶ τῇ γυ-
6 μνώσει τοῦ σώματος χρήσασθαι καθ' ὅλης Ἀμφιτρίτης καὶ Ποσειδῶνος αὐτοῦ· οὗτοι τὴν παρακαταθήκην, ἥν μοι παρέθου, βασιλεῦ, σεσυλήκασι, τὴν σὴν Ὑσμίνην, ἥν μοι 236
παρέθου ταύτῃ τῇ δεξιᾷ· οὗτοί μοι τὸν θησαυρὸν ἐληί-
8 σαντο· σὺ δ' ἀλλ' ἀπόθου τὸ πῦρ καὶ τὰ τόξα καὶ τὸ
11 πτερόν· εἰ δὲ μὴ βούλει, περίθου καὶ κατάδυθι πρὸς βυθὸν καί μοι τὴν Ὑσμίνην ἀνάγαγε, τὴν Ὑσμίνην, ἧς μόνον ἐπιμνησθεὶς ὅλα πυρπολοῦμαι τὰ σπλάγχνα καὶ
9 ὅλην τὴν ψυχὴν κατακαίομαι. Ἀλλ' ὦ τῶν ἐν ὀνείροις
15 ἐκείνων τερπνῶν, τῶν φιλημάτων, τῶν γαργαλισμάτων, τῶν συμπλοκῶν, τῶν περιπλοκῶν καὶ τῶν ἄλλων ἐρωτικῶν. Βαβαὶ τῶν ὀνείρων, οἷς ἠνδραπόδισμαι. Ὄνειροι πάντως καὶ ὕπνος, ὄντως κατάγελως. Ὦ Ζεῦ θεῶν ἀλη-

1 βασιλεῦ] βασιλεὺς P¹ δ'] om. V 2 μόνων] μόνον Vκ ψευδῶν] ψυχῶν G ὁ] om. BGK 3 πυρφόρον — 4 καταπέφλεγμαι] om. BGVR 3 πυρφόρον] πλὴν K 4 καταπέφλεγμαι] πέφλεγμαι (corr. ex πόφλεγμαι) P πτερωτόν] om. B καὶ τὸ] om. λ 5 ἐξέφυγον] ἐξέφυγεν J σοι] om. V 6 Ἀμφιτρίτης] ἀφροδίτης η (praeter κ) καὶ] κατὰ J, κατὰ τοῦ ε (praeter B) 7 οὗτοι] οὗτος κ, οὗ λ 8 παρέθου] παρέθου ταύτῃ N¹ 8 βασιλεῦ — 9 παρέθου] om. BFGVR 8 σεσυλήκασι] σεσύληκε B σὴν] om. X 9 οὗτοί] οὗτός κ 9 sq. ἐληίσαντο] ἐληίσατο κ 10 sq. τὸ πῦρ καὶ τὰ τόξα καὶ τὸ πτερόν] τὰ τόξα καὶ τὸ πτερὸν καὶ τὸ πῦρ η (praeter κ), τὰ τόξα καὶ τὸ πῦρ καὶ τὸ πτερόν Le Basius 11 μὴ Mη (praeter B), μοι rell. βούλει] βούλῃ B κατάδυθι BJKR, κατάβηθι GVε 13 μόνον] μόνης Gη (praeter B) 14 ὅλην] om. B τὴν] om. Gaulm. (D) κατακαίομαι] κατακλαίομαι V ἐν] ὡς ἐν Jδ (praeter κ) 15 ἐκείνων] om. B 1. τῶν] om. B τῶν (τὸν R) γαργαλισμάτων] om. β 16 ἄλλων] ἄλλων πάντων ε (praeter B) 17 ἠνδραπόδισμαι] ἀνδραπόδισμαι V 18 πάντως] πάντες B ὕπνος] ὕπνοι B ὄντως VR, πάντως J, καὶ ὄντως Gδ 18 κάταγελως — 123, 1 ὄντως] om. P 18 κατάγελως] κατάγελος J.

θέστατε, ὄντως σὸς οἰωνὸς ἐκεῖνος ἀπαισιώτατος ὅλον
μοι τὸ μέλλον τοῦτο καθαρῶς αἰνιττόμενος· ἰδοὺ γὰρ
Ὑσμίνη παρθένος ἐλεεινῶν μοι τούτων χειρῶν βιαίως
10 ἀπέσπασται. Ἀλλ', ὦ κόρη, τῶν συνθηκῶν σοι κα-
τέψευσμαι· σὺν σοὶ τεθνάναι θεοὺς αὐτοὺς διεμαρτυράμην
σοι καί σοι τοῦτο τὸ θανάσιμον συμμερίσασθαι· νῦν δὲ
σὲ μὲν σκότος καλύπτει καὶ κῦμα πρότερον ἐλεεινῶς
κατεπέκλυσεν, ἐγὼ δὲ φῶς ὁρῶ, καὶ τοῖς κύμασι παρα-
11 κάθημαι. Σὺ μὲν πρὸς Ἅδην, ἐγὼ δὲ πρὸς γῆν· μέμυκέ
σου τὸ στόμα, τὸ σίμβλον τοῦ μέλιτος, τὸ δ' ἐμὸν τοῦτο
στόμα πλατυνθὲν ἐξ ὀδύνης κατατραγῳδεῖ σοι τὸν ἐξι-
τήριον καὶ ὡς ἐκ κέντρου σῆς μελίσσης πληγὲν φλεγμαίνει
τοῖς πάθεσι· καὶ σὺ μὲν ἀμνηστίας ἴσως ἐπεγκαλέσεις ἡμῖν,
ἡμεῖς δέ σου τὴν μνήμην ὥσπερ συμψυχώσαντες ἑαυτοῖς
σὺν αὐτῇ ψυχῇ καὶ ταύτην φυσήσωμεν, ἢ μᾶλλον καὶ
μέχρις Ἅδου συγκαταγάγωμεν καὶ μέχρι τοῦ τῆς λήθης
κρατῆρος αὐτοῦ θρηνοῦντες πικρόν, ἐλεεινόν, ἀναπόνιπτον."
12 Ταῦτ' ἔλεγον, καί μου τῶν ὀφθαλμῶν ἀπέρρει τὸ 237
δάκρυον καὶ κατὰ θάλασσαν ἐξεχεῖτο καὶ πυκνῶς κατε-
κυματοῦτο καὶ ὅλον με κατεπέκλυζεν.

1 σὸς] σοι BG, ὅσος P 2 καθαρῶς αἰνιττόμενος] καθαρῶν αἰνιττόμενος R, καταινιττόμενος B 3 ἐλεεινῶν] ἐλεεινῶς R 4 ἀπέσπασται] ἀπέσπαται ζ σοι] μοι V 5 σὺν σοὶ τεθράναι] σὺν σοὶ θανοῦμαι G, συντεθνάναι Jε (praeter κ), σὺν σοὶ συντεθνάναι Osannus θεοὺς] καὶ θεοὺς η (praeter B), om. Teucherus 6 συμμερίσασθαι] συνερείσασθαι ζ 7 πρότερον] λαμπρότερον V 8 κατεπέκλυσεν] συγκατέκλυσεν G 10 σίμβλον] σύμβλον GTR, σίμβρον V μέλιτος] στόματος η (praeter κ) τὸ δ' ἐμὸν] καὶ τοὐμὸν V 11 κατατραγῳδεῖ σοι JV, κατατραγῳδήσει σοι BK, κατατραγῳδήσει GRε τὸν] τὸ R 12 κέντρου σῆς] κέντρων σῆς ζ, κέντρων τῆς ATλ, κέντρου τῆς F[1], κεντρούσης K, κέντρου? Hercherus 13 ἀμνηστίας] ἀμνηστείας Vη (praeter B) ἐπεγκαλέσεις] ἐπεγκαλεῖς J 14 συμψυχώσαντες] ψυχώσαντες κ 15 αὐτῇ] αὐτῇ τῇ η (praeter B) φυσήσωμεν KR, φυσσήσωμεν V, φυσσήσομεν G, φυσήσομεν Jε 2. καὶ] om. N 16 συγκαταγάγωμεν] συγκατάγωμεν Gaulm. (D) 17 πικρόν, ἐλεεινόν] ἐλεεινόν, πικρόν J, δεινόν, ἐλεεινόν G, ἐλεεινόν κ 20 κατεπέκλυζεν] κατέκλυσεν P.

18 Ἐν μέσοις δὴ τούτοις ὕπνος λαθὼν ἐμπίπτει μου τοῖς
ὀφθαλμοῖς καί με πρὸς ἑαυτὸν ὅλον ἐφέλκεται· καὶ πάλιν
2 Ἔρως ἐφίσταται διὰ νυκτὸς ὑπνουμένῳ μοι. Καὶ ἦν
Ἔρως ὄντως ἐκεῖνος ὁ γεγραμμένος εἰς Αὐλικώμιδα, καί
μοί φησιν "Ὑσμινία, χαίροις·" ἐγὼ δ' "ἀλλ' οὐ χαρτὰ
πάσχω· τὴν γάρ μοι παρακαταθήκην, ἣν ταῖς χερσί μου
ταύταις παρέθου, τὴν σὴν Ὑσμίνην καὶ παρθένον ἐμήν,
οὗτος <ὁ> θρασὺς Ποσειδῶν ἐλεεινῶν τούτων ἐμῶν
ἀγρίως ἀφαρπάζει χειρῶν, ὅλην κυκήσας θάλασσαν, ὅλον
3 ἐγείρας κλυδώνιον. Ἀλλ', ὦ βασιλεῦ Ἔρως, ὅλον σοι
γένος Ἀμφιτρίτης εἶδον δουλογραφούμενον καί σου φρίττον
τὴν γύμνωσιν. Ὦ βασιλεῦ, ἐκ βυθοῦ καὶ θαλάσσης τὴν
Ὑσμίνην ἀνάγαγε, παρθένον οὕτω καλήν, οὕτως ὡραίαν,
οὕτω πνέουσαν ἔρωτος καί σοι δουλογραφουμένην καί με
4 δουλογραφοῦσαν τὸν ἐραστήν. Σοῖς τετρωμένοι βέλεσι,
βασιλεῦ, πατρίδων ἡμῶν ἀπονάσται γεγόναμεν· σῷ πυρ-
πποληθέντες τὰ σπλάγχνα πυρί, βασιλεῦ, νύκτας ὅλας
ἀύπνους ἰαύσαμεν· σῇ δυνάμει θαρρήσαντες, βασιλεῦ,
5 θαλάσσης ἐπέβημεν, πελάγους κατετολμήσαμεν. Ἀλλ'

1 δὴ] δὲ B ἐμπίπτει] θάπτει V 2 ἑαυτὸν] αὐτὸν B 3 ὑπνουμένῳ] ὑπνουμένου BR 4 ἔρως ὄντως F²KR, ὄντως ἔρως BGJ, οὕτως ἔρως V, ἔρως ὅλος (ὅλως O) η, ὅλως (ὅλος P) ἔρως ζ εἰς Αὐλικώμιδα] ἐπ' αὐλικώμιδος B, ἐν αὐλικώμιδι Kη 5 χαίροις] χαῖρε B, χαίρου V 6 μοι VR, μου rell. ἣν] ἣν ἐν B 7 ἐμήν] ἐμοί ε (praeter κ) 8 <ὁ> Hercherus, om. α ἐμῶν] om. λ 9 ἀγρίως] om. η (praeter B) κυκήσας] κινήσας ε (praeter B) 10 ἐγείρας] ἀγείρας A, ἀνεγείρας K κλυδώνιον] κλύδωνα J βασιλεῦ] βασιλεὺς V, βασιλεῦ βασιλέων R 11 φρίττον] φρίττων ζ φρίττω P²Tλ 12 βασιλεῦ] βασιλεῦ ἔρως V ἐκ — θαλάσσης] om. η (praeter κ) 14 ἔρωτος] ἔρωτα η (praeter κ) δουλογραφουμένην] δουλογραφημένην ζ 14 2. καί — 15 ἐραστήν] om. G 14 με] μοι ε (praeter κ) 15 δουλογραφοῦσαν] δουλογραφοῦσαι P τετρωμένοι] τετρω(ο O)μένον AF¹λ 16 βασιλεῦ] βασιλεύς V ἀπονάσται Teucherus, ἀπανάσται BGJKR, ἐπανάσται Vζ, μετανάσται η 17 πυρί — 18 βασιλεῦ] om. V 17 βασιλεῦ] om. R 17 sq. ὅλας ἀύπνους] ἀύπνους ὅλας R 18 σῇ — 19 κατετολμήσαμεν] om. R 18 σῇ] τῇ σῇ B.

ὦ τῆς σῆς δυναστείας εἴτ' οὖν ἐμῆς δυστυχίας. Ὅλον Ποσειδῶν ἐγείρει κλυδώνιον, ὅλον θυμὸν κατὰ θαλάσσης κενοῖ, ὅλην τὴν ναῦν φιλονεικεῖ καταβαπτίσαι τοῖς κύμασι, καὶ τὴν Ὑσμίνην (ἧς φεῖσαι, βασιλεῦ Ἔρως) ὅλῃ θρασείᾳ χειρὶ (βαβαὶ) τούτων τῶν ἐμῶν ἀθλίων ἀφαρπάζει χειρῶν. Ἀλλ', ὦ πάντων Ἔρως κρατῶν—"

19 Ὁ δ' ἐπτερύξατο τοῖν ποδοῖν καὶ κατὰ μέσα πελάγη γενόμενος ἐμπίπτει τοῖς κύμασι καὶ χωρεῖ πρὸς 238
βυθὸν καὶ μετ' οὐ πολύ μοι πάλιν ἐφίσταται τὴν Ὑσμίνην ἀνέχων πρὸ τῶν χειρῶν καὶ ὡς ἐκ θαλάσσης ὑγρὰν καὶ λελουμένην ταῖς Χάρισι, καὶ ταῖς ἐμαῖς ταύταις χερσὶ παρατίθεται· ἐγὼ δ' ὡς τὴν Ὑσμίνην λαβὼν ὑφ' ἡδονῆς ἐξανέστην τῶν ὕπνων· τὰ δ' ἦσαν πάντα καὶ πάλιν ὄνειροι δουλεύοντες Ἔρωτι.

1 σῆς] om. η (praeter B) 2 θυμὸν] βυθὸν ε (praeter B) **3** κενοῖ] κινοῖ R, κινεῖ B, ἐγείρει V κύμασι] ὕδασι J 4 βασιλεῦ] βασιλεὺς P[1] 5 τῶν] om. Jδ ἐμῶν ἀθλίων ἀφαρπάζει] ἀθλίων ἐμῶν ἀφαρπάζει V, ἐμῶν ἀφαρπάζει ἀθλίων λ 6 ὦ] ὁ ε (praeter κ) κρατῶν] κρατῶν, τὴν ἰσμήνην (ὑσμίνην F[2]) παράσχου μοι, τὴν ἰσμήνην (ὑσμίνην F[2]), ἣν αὐτὸς ἐδωρήσω (ἐδώρησάς Le Basius) μοι κ 9 μοι] om. ε (praeter κ) 10 ἀνέχων] ἀνέχω P, ἔχων B πρὸ] πρὸς ζ καὶ] om. κ 11 1. καὶ] om. V 2. καὶ] om. R 13 ἐξανέστην] ἀνέστην V τὰ] τῶ V πάντα] om. V 13 sq. καὶ πάλιν ὄνειροι] ὄνειροι καὶ πάλιν V 14 δουλεύοντες] δουλεύουσιν G.

II

1 Οὕτω μὲν οὖν μεθ' ἡδονῆς καὶ χαρᾶς ἀνέστην τῶν
ὕπνων καὶ ὅλοις τοῖς ὀφθαλμοῖς τὴν Ὑσμίνην ἐζήτουν
ἰδεῖν, ἡ δ' ἦν οὐδαμοῦ· πλῆθος δ' ὁρῶ περὶ τὴν ψάμμον
καὶ πλῆθος οὐκ εὐαρίθμητον Αἰθιόπων, ἀγρίων ἀνδρῶν,
οὓς ἰδών, νὴ τὴν τῶν ἐμῶν δυστυχημάτων θάλασσαν,
ὅλος ἐξέστην εὐθὺς καὶ ἤθελον ὄναρ ὁρᾶν· τὸ δ' ὕπαρ
2 ἦν· ὁρῶσι γάρ με καὶ μεθέλκονται τῶν τριχῶν καὶ περὶ
τὴν τριήρη βαρβαρικῶς ὥσπερ τι θήραμα φέρουσι (παρῆν
γὰρ ὥσπερ ἀπηωρημένη τῆς γῆς ἐν πασσάλοις καὶ πεί-
σμασι) καὶ περὶ τὸν τῆς τριήρους καταγαγόντες πυθμένα
3 τῇ κώπῃ παρακαθίζουσιν. Ἐπεὶ δ' ἀποβαίνουσι τῆς γῆς,

1 οὖν] om. K ἀνέστην] ἀναστὰς JK, ὁποίας ε (praeter κ) 2 καὶ] om. Jδ (praeter B) ὀφθαλμοῖς] ὀφθαλμοῖς μου G τὴν Ὑσμίνην ἐζήτουν] ἐζήτουν τὴν ὑσμίνην K 3 ἦν] om. B 2. δ'] οὖν Teucherus περὶ τὴν ψάμμον VR, περὶ τῇ ψάμμῳ GK, παρὰ τῇ ψάμμῳ Jε 4 καὶ πλῆθος] καὶ πλῆθος δ' ε (praeter κ), πλῆθος δ' Le Basius ἀνδρῶν] θηρῶν G 5 τὴν] om. ε (praeter κ) τῶν ἐμῶν] τῶν τῶν ἐμῶν G, πικρὰν κ, πικρὰν τῶν ἐμῶν Le Basius θάλασσαν] τὴν θάλασσαν(—ττ—T)η (praeter B) 6 ὅλος] ὅλως AF[1]λ ἐξέστην] ἐξανέστην BGVR ὁρᾶν] ἰδεῖν ε (praeter B) 6 sq. ὕπαρ ἦν] οὐ παρῆν ζκ 8 τὴν] τῇ B τριήρη] τριήρην ζ θήραμα] θῦμα κ 9 ἀπηωρημένη] ἀπη R ἐν] καὶ B 10 τῆς τριήρους] τῆς τριήρης X[1], τῆς τριήροις O, τριήρης V καταγαγόντες πυθμένα] πυθμένα καταγαγόντες V, μεταγαγόντες πυθμένα P, κατάγοντες πυθμένα Teucherus 11 τῇ — 127, 1 συναγαγόντες] om. V 11 κώπῃ] κόρῃ G ἀποβαίνουσι scripsi, ἀποβῶσι BGJKR, ἀποβάσι ζ, ἀποβάντες η, ἀπέβησαν Hercherus.

ὅλα συναγαγόντες τὰ πείσματα κώπαις πτεροῦσι τὴν ναῦν, ὅσας αἱ τριήρεις αὐχοῦσι πυκνάς· καὶ περὶ λιμένα γενόμενοι νήνεμον καὶ λίαν εὐάγκαλον ἐλλιμενίζουσι τὴν τριήρη· καὶ μικρὸν μετασχόντες τροφῆς καὶ ποτοῦ (τὰ δ' ἦσαν ἄρτος καὶ ὕδωρ τούτοις ἐπιφερόμενα) πρὸς ὕπνον ἐτράπησαν, περὶ πρῷραν καὶ πρύμνην ἀνυστάκτους ἀφοσιωσάμενοι φύλακας.

2 Περὶ δὲ τρίτην φυλακὴν τῆς νυκτὸς ἀναστάντες τῶν 239
ὕπνων κώπαις πάλιν πτεροῦσι τὴν ναῦν καὶ τοῦ λιμένος
ἐξάγουσι· καὶ περί τι γεγονότες πολίχνιον καὶ σιγῇ τὴν
ναῦν προσορμίσαντες καὶ τῶν χειρῶν ταῖς μὲν λαιαῖς
ἀσπίδας λαβόμενοι, ταῖς δ' αὖ ἑτέραις δεξιῶς σπασάμενοι
φάσγανα καὶ ὅλους ἑαυτοὺς τοῖς ὅπλοις καταφραξάμενοι,
ὡς μέλισσαι κηρίον, ὅλον περιεκύκλωσαν τὸ πολίχνιον.
2 Καὶ θροῦν ἐγείραντες βαρβαρικόν τε καὶ ἄσημον, ἀόπλοις
ὁπλῖται, κοιμωμένοις ἄγρυπνοι κατεπέθεντο σφάττοντες,
ἁρπάζοντες ὡς θῆρες ἀγρίως, ἅπαν κατασπαραττόμενοι
τὸ πολίχνιον καὶ πᾶν τὸ προστυχὸν καταληιζόμενοι σὺν
αὐταῖς γυναιξί, σὺν αὐταῖς παρθένοις, νεανίσκοις, ἀνδρά-

1 πτεροῦσι] συμπτεροῦσι G 2 ὅσας] ὅσαι B, ὅσαις ε πυκνάς] πυκναῖς η (praeter B) 3 γενόμενοι] γινόμενοι B εὐάγκαλον] εὐάγγαλον V, εὐάγγελον R, ἀνάγγαλον M 3 sq. τὴν τριήρη] τὴν τριήρην ζ, τῇ τριήρῃ VR, τῇ τριήρει B 4 τροφῆς] τρυφῆς N 4 sq. τὰ δ' ἦσαν] τὸ δ' ἦσαν Vζ, τὸ δ' ἦν η (praeter B) 6 περὶ — 7 φύλακας] ἀνυστάκτους ἀφο(ω λ)σιωσάμενοι φύλακας περὶ πρώραν καὶ πρύμνην η (praeter κ) 6 πρύμνην] πρύμναν B ἀνυστάκτους] ἀνυστάτους V ἀνυστύστους P¹ 8 περὶ δὲ] καὶ περὶ V τῶν] om. B 9 κώπαις] καὶ παῖς P πτεροῦσι] παροῦσι R 10 τι] om. R 11 προσορμίσαντες] προσορμήσαντες Οζ μὲν R, μὲν δὴ BGJKV, μέντοι ε 12 δεξιῶς σπασάμενοι] δεξιῶς ἀσπασάμενοι V 14 μέλισσαι] μέλισσαν NOθ ὅλον] om. R περιεκύκλωσαν JR, περικύκλωσαν κ, περικυκλώσαντες V, ἐπέκλωσαν G, ἐπεκύκλωσαν δ 16 κατεπέθεντο] κατεπετίθεντο R, κατεπιτίθεντο V 17 κατασπαραττόμενοι — 129, 11 συνανεκλίθησαν] folium periit in B 17 κατασπαραττόμενοι] καταληιζόμενοι R, σπαραττόμενοι AFλ 19 νεανίσκοις] ξὺν αὐτοῖς νεανίσκοις η (praeter B).

σιν, ὅσους μὴ πρὸς Ἅδην βαρβαρικὴ μετεβίβασε μάχαιρα.
3 Περὶ γοῦν τὴν τριήρη πᾶν τὸ λῃσθὲν συναγαγόντες οἱ πειραταὶ καὶ τούτοις κατεπιβάντες καὶ συνεπιβάντες αὐτοὶ μακρὰν τοῦ λιμένος ἀπέβησαν.

3 Καὶ περὶ μέσα πελάγη γενόμενοι καὶ ὡς ἐν θεμελίοις τοῖς καλωδίοις ὅλην τὴν τριήρη καταπηξάμενοι τὰ σκῦλα μερίζονται· τούτων δ' ὅσον ἐν ἀνδράσιν, ὅσον ἐν νεανίσκοις, ὅσον ἐν παρθένοις καὶ γυναιξίν, ἀπεδύετο τὸν χιτῶνα καὶ ἦν ἀπερικάλυπτον καὶ μέχρις αἰδοῦς καὶ
2 γύμνωσιν καθ' ὅλου φέρον τοῦ σώματος. Ὁ μὲν οὖν δὴ πυθμὴν τῆς τριήρους τοὺς νεανίσκους καὶ τοὺς ἄνδρας ἐδέχετο, τὰς δέ γε γυναῖκας αἰσχύνη καὶ βαρβαρική τις ἀσέλγεια· παρθένοις γὰρ οὐκ οἶδ' ὅπως ἢ τίνι νόμῳ βαρβαρικῷ καὶ χιτὼν διερρωγώς τις ἐπεδιδύσκετο καὶ χεὶρ αὐθάδης οὐκ ἐπετίθετο οὔτε τι βαρβαρικὸν ἐπὶ ταύταις αἰσχρῶς κατεπράττετο.

4 Οὕτω τοίνυν τὰ μὲν περὶ τὰς γυναῖκας αἰσχρῶς, τὰ δ' ἄλλ' ἀκόσμως οἱ βάρβαροι διακοσμησάμενοι περὶ τὸ δεῖπνον 240
ἐτράπησαν· καὶ ἦν ἡ τράπεζα τούτοις πολυτελής, οὐχ
2 ὡς πρὸ μικροῦ βαρβαρικὴ καὶ παντελῶς ἀφιλότιμος. Τοῖς

1 ὅσους] ὅσα V, ὅσοις Gaulm. Ἅδην] ᾄδουσιν V[1] μετεβίβασε] ἐπεβίβασε (ἐπεβίβαζε M) ε (praeter B) 2 γοῦν] δὴ G[1], γοῦν δὴ G[2]JKζ, om. X[2] τριήρη] τριήρην ζ λῃσθὲν FGJK, ληιθὲν VRε 3 καὶ τούτοις κατεπιβάντες] del.? G. Dindorfius in Thesauro s. v. κατεπιβαίνω κατεπιβάντες] om. P[2] καὶ συνεπιβάντες] om. Vη (praeter B) αὐτοὶ] αὐτοῖς G 5 πελάγη] πελάγει R ἐν] om. Jε 6 τριήρη] τριήρην ζ 7 1. ὅσον — 7 sq. νεανίσκοις] om. V 7 ἀνδράσιν — 8 ἐν] om. GR 8 ἀπεδύετο] ἀπεδύσατο ζ, ἀπεδύσαντο η (praeter B) 9 2. καὶ] om. Gε 10 καθ' ὅλου JV, καθόλου rell. 11 τῆς τριήρους] om. ε (praeter B) τοὺς] καὶ GJKR, καὶ τοὺς Osannus νεανίσκους — ἄνδρας] ἄνδρας καὶ (om. F) νεανίσκους καὶ παρθένους (παρθένας M) ε (praeter B) 12 γε] om. OVRζ 13 ὅπως ἢ] ὁπωσὶ ζ, ὅπως η (praeter B) τίνι] τινὶ Οζ 14 1. καὶ] ὁ R, οὐ V ἐπεδιδύσκετο GJM, ἐπενδυδίσκετο (ἐπενδυδίσατο A) η (praeter B), ἀπεδιδύσκετο rell., ἐπενεδιδύσκετο Osannus 15 ἐπετίθετο] ἐπιτίθετο JVR οὔτε τι] οὐκέτι V 16 κατεπράττετο] κατεπίπρακτο (sic) R 17 μὲν] om. GVR 18 ἀκόσμως] εὐκόσμως R τὸ] τὸν V 20 πρὸ] πρὸς V.

μὲν οὖν ἀνδράσιν, ὡς εἴρηται, τῆς τριήρους ὁ πυθμὴν
ἀφωσίωται, ταῖς δέ γε παρθένοις ὁ περὶ τὴν πρῴραν
τόπος ἀφώρισται· αἵ γάρ τοι γυναῖκες τοῖς βαρβάροις
3 αἰσχρῶς περὶ τὸ δεῖπνον συνανεκλίθησαν. Μετὰ γοῦν δὴ
πολυτελεῖς, ὡς εἴρηται, τὰς τροφὰς καὶ τὴν αἰσχρὰν
ἐκείνην καὶ ὅλην αἵματος τράπεζαν τοὺς μὲν νεανίσκους
(ὀλίγοι δ' οὗτοι) ταῖς κώπαις παρακαθίζουσιν· ὅσοι
δ' ὑπερβεβήκασι τούτους (βαβαὶ τῆς τῶν βαρβάρων ἀμει-
λίκτου ψυχῆς) ξίφους γεγόνασι παρανάλωμα, καὶ τὰς
κεφαλὰς ἐλεεινῶς εἰς θάλασσαν ἐξεσφενδονήθησαν· αἱ δέ
γε γυναῖκες αἰσχρῶς τοῖς βαρβάροις συνανεκλίθησαν· καὶ
ἦν ἡ τριήρης πανδοχεῖον πλῆρες αἰσχρότητος καὶ συμπό-
σιον αἵματος.
5 Οὕτω μὲν οὖν εἶχε τὰ τῆς νυκτός· ἐπεὶ δὲ νὺξ
οὐδαμοῦ (ἥλιος γὰρ ὑπὲρ γῆν) καὶ τὸ ζητούμενον φῶς
ἡμῖν προσεγέλασε καὶ ἦν ἡμέρα τὸ φῶς, ὡς ἐκ παστάδος
ἀνέστη τὸ βάρβαρον, καὶ ἦν ὅλον μεθύον ταῖς ἡδοναῖς
καὶ βαρβάρῳ φωνῇ καταγλωσσαλγοῦν καὶ οἷον διαλεγόμενον.
2 Μετὰ γοῦν δὴ πολύν τινα θροῦν, ὅσον τὸ ναυτικὸν
ἐγείρει, καὶ μᾶλλον εἰ βάρβαρον, ᾠδή τις ἀλλόθρους καὶ

2 ταῖς] τοῖς G τὴν] om. G πρῴραν JVR, πρώρην Gδ 3 ἀφώρισται] ἀφώριστο GR τοι] om. η (praeter B) 3 sq. τοῖς βαρβάροις αἰσχρῶς] αἰσχρῶς τοῖς βαρβάροις V 4 περὶ τὸ δεῖπνον] om. V 4 μετὰ — 11 συνανεκλίθησαν] leguntur post 18 διαλεγόμενον V 4 δὴ] om. Gη (praeter B) 5 ὡς εἴρηται, τὰς τροφὰς] τὰς τροφάς, ὡς εἴρηται λ, τροφάς, ὡς εἴρηται R τροφὰς] τρυφὰς V 6 ἐκείνην] αἰσχύνην V 8 δ' ὑπερβεβήκασι] ὑπερβεβήκασιν V, δὲ περιβεβήκασι (δὲ παραβεβήκασι κ) η τούτους] τούτοις P τῶν] om. F 8 sq. ἀμειλίκτου] ἀμειλίχου AFλ 10 ἐξεσφενδονήθησαν] ἐξεσφενδόνησαν Vκ, ἐξεσφενδονήσθησαν θλ 11 γε] om. JMPV βαρβάροις] βαρτοῖς βαρβάροις X 12 πλῆρες] del.? (cf. 3. 9) 14 οὖν] om. G 15 sq. φῶς ἡμῖν] ἡμῖν τῆς ἡμέρας φῶς B 16 προσεγέλασε] προσεγέλα Jε (praeter κ) 16 ἡμέρα — 17 ἦν] om F[1] 16 ἐκ] οὐκ ἐκ Teucherus 18 βαρβάρῳ] βαρβάρων G διαλεγόμενον] sequuntur 4 μετὰ — 13 αἵματος V 19 δὴ] δὲ θμ, om. G τὸ ναυτικὸν] τὸν αὐλικον (s. acc.) P[1] 20 εἰ] τὸν P, om. C, τὸ Mη (praeter B), ἢ Teucherus 20 sq. ἀλλόθρους καὶ ἄσημος] ἄσημος και ἀλλόθρους λ.

ἄσημος ἱστίῳ λευκῷ τὴν τριήρη κατεπεκόσμησε, καὶ τὸ πνεῦμα πνεῦσαν ἐκ πρύμνης ὅλον τὸ ἱστίον ἐκύρτωσε, καὶ ἦν ἡ τριήρης ὡς ἵππος εἰς πεδίον κροαίνουσα.

6 Καὶ ἵνα τἀν μέσῳ παρῶ, ὅσα τὸ βάρβαρον κα-
τεκώμαζεν, ὅσα ταῖς γυναιξὶν ἠναιδεύετο, καὶ τἆλλ' ὁπόσα
βαρβαρικῶς ἀσέμνως ἐστέλλετο, εὐφόρῳ τῷ πνεύματι
περὶ τὴν Ἀρτύκωμιν ἐγενόμεθα καὶ πλῆθος ἐξ Ἀρτυ-
2 κώμιδος ὁρῶμεν περὶ τὴν ἤπειρον. Καὶ μετὰ δὴ πολλὰς 241
τὰς σπονδάς, ἃς οἶδε τὸ βάρβαρον σπένδεσθαι καὶ ὅσα
πειραταὶ πρὸς ἠπειρώτας βαρβαρικῶς διαλλάσσονται, δέχεται
μὲν ἡ τριήρης ὁμήρους τινάς, ἡ δ' ἤπειρος τὸν τῆς τρι-
ήρους φόρτον, ὅσον ἐκ τοῦ πολιχνίου τὸ βάρβαρον ἐλη-
ίσατο· καὶ ἦν περὶ τὴν ψάμμον πανήγυρις αὐτοσχέδιος.
3 Ὅσον μὲν οὖν ἐν ἀργύρῳ καὶ χρυσῷ καὶ χαλκῷ καὶ
σιδήρῳ καὶ χιτωνίσκοις καὶ τοῖς ἄλλοις, ὅσα βαρβαρικὴ
καταληίζεται χείρ, τῆς τριήρους ἐξεφορτοῦτο καὶ ὅλον
διεπιπράσκετο· τὸ δ' ὅσον τῆς λείας ἐν ἀνθρώποις ἡμῖν,
τῆς τριήρους οὐ μετεκομίσθη περὶ τὴν ἤπειρον, ἀλλ' ἐν
αὐτῇ τῇ τριήρει κατεπιπράσκετο.

1 τὴν] τῇ B τριήρη] τριήρην ζ κατεπεκόσμησε] κατεκόσμησε GV 3 καὶ ἦν] ἦν δ' V ἵππος] ἵππον G εἰς πεδίον] ἐν πεδίῳ R κροαίνουσα] προβαίνουσα Teucherus 4 τἀν] τὰ ἐν ζ παρῶ] desinit G ὅσα] ὅσον B 4 sq. κατεκώμαζεν] κατεκόσμησεν V[1], κατεκώμασεν V[2], κατεκόμιζεν B 5 ἠναιδεύετο K, ἠνεδεύατο B, ἀναιδεύετο VR[1], ἀνηδεύετο R[2], ἀπηναιδεύετο Je, ἀπηνηδεύετο Le Basius 6 βαρβαρικῶς] om. V ἀσέμνως ἐστέλλετο] ἀσέμνως ἐστέλλοντο V, ἐστέλλετο καὶ ἀσέμνως κ, καὶ ἀσέμνως ἐστελλετο Le Basius εὐφόρῳ] ἐκφόβῳ P τῷ] om. R 7 περὶ] πρὸς V 8 καὶ] om R δὴ πολλὰς Hercherus, πολλὰς μὲν δὴ η (praeter B), μὲν δὴ πολλὰς rell. 9 οἶδε] εἶδε ζ ὅσα] ὅσας X 10 βαρβαρικῶς] αἰσχρῶς V 11 τὸν] πρὸς τὸν Vζ 14 ὅσον] ὅσῳ V καὶ χαλκῷ] om. B 14 sq. καὶ σιδήρῳ] om. J 15 ὅσα] ὅση B 16 καταληίζεται] κατακληίζεται Gaulm. 16 ἐξεφορτοῦτο — 18 τριήρους] om. V 17 λείας] χρείας (corr. ex χείας) N ἐν] om. R ἡμῖν] ἦν Gaulm. 18 τῆς τριήρους] om. FK μετεκομίσθη] κατεκομίσθη B περὶ τὴν] πρὸς V 19 τριήρει] τριήρῃ NR.

7 Καὶ γυναικῶν μὲν καὶ νεανίσκων αἰχμαλώτων
ἡμῶν ὀλίγος τοῖς ἐξ Ἀρτυκώμιδος λόγος ἢ μᾶλλον οὐ-
δείς, τὸ πᾶν δ' ἐκεχήνει περὶ τὴν τῶν παρθένων κτῆσιν· αἱ δ'
ἦσαν πολλοῦ τοῖς βαρβάροις τιμώμεναι καὶ πολλοῖς τοῖς ἐξ
Ἀρτυκώμιδος κτώμεναι, μετὰ μέντοιγε τόξον καὶ πηγὴν
τῆς Ἀρτέμιδος, ἣν Ἀρτύκωμις φέρει Ῥῆνον ποταμὸν Κελτι-
2 κόν. Ἱερὸν γὰρ ἐν Ἀρτυκώμιδι περιφανὲς τῆς Ἀρτέμιδος, οὗ
μέσον χρυσοῦν Ἀρτέμιδος εἴδωλον, τόξον τεῖνον ταῖν χεροῖν,
τοῖν δέ γε ποδοῖν πηγὰς βλύζον κατὰ ποταμὸν ῥεούσας
3 ἐριβρύχην καὶ πολυχεύμονα. Ταύτας δὴ τὰς πηγὰς ἀνακα-
χλάζειν εἴποις ἰδών· ἃ δή, καὶ τόξον καὶ πηγή, παρθένον
ἐλέγχουσι καὶ παρθενικὴν ἀποσύλησιν· εἰ γάρ τις περὶ
παρθένον διψυχεῖ καὶ ζητεῖ τὸν ἔλεγχον, ἐπὶ τὴν πηγὴν τὴν
παρθένον ἐμβάλλουσι, τῆς δάφνης αὐτὴν στεφανώσαντες.
4 Εἰ μὲν οὖν ἡ τὴν πηγὴν εἰσδῦσα παρθένος τὴν παρθε-
νίαν οὐκ ἔψευσται καὶ τὸ σεμνὸν οὐκ ἀποσεσύληται, τὸ
τόξον Ἄρτεμις οὐ τείνει, τὸ ὕδωρ ἠρεμεῖ, καὶ ἡ παρ-
θένος κούφως τοῖς ὕδασι φέρεται, τῷ τῆς δάφνης στε-

1 γυναικῶν μὲν καὶ νεανίσκων] νεανίσκων μὲν καὶ γυναικῶν R 1 sq. αἰχμαλώτων ἡμῶν] ἡμῶν αἰχμαλώτων R, ἡμῶν η (praeter κ) 2 ὀλίγος] ὁ λόγος B τοῖς] τῆς JMVλ 2 sq. ἢ μᾶλλον οὐδείς] om. η (praeter κ) 3 κτῆσιν] κτίσιν V 4 πολλοῦ] πολλῷ V πολλοῖς] πολλοῦ AFλ 5 κτώμεναι] χρώμεναι ἢ μᾶλλον εἰπεῖν κτώμεναι R μέντοιγε] μέν γε O[1] 6 τῆς] τὴν V Ῥῆνον] ῥίνον ζ 6 sq. ποταμὸν Κελτικόν] ποταμὸν κητικόν J, κελτικὸν ποταμόν V 7 οὗ — 8 Ἀρτέμιδος] om. λ 8 εἴδωλον] εἴδωλος R τεῖνον] τείνειν R ταῖν] τοῖν V, ταῖς T χεροῖν] χειροῖν P, χερσὶ T 9 βλύζον — 10 πηγὰς] om. Teucherus 10 δὴ] δὲ J 10 sq. ἀνακαχλάζειν] ἀνακαγχλάζειν Vζ 11 ἰδών] εἰδόν R 1. καὶ] τὸ Vζ, om. η (praeter κ) καὶ πηγή, παρθένον] om. J πηγή] ἡ πηγή V, πηγαί K 12 καὶ παρθενικὴν ἀποσύλησιν] om. N παρθενικὴν] παρθενικῆς K, παρθενικῶν Gaulm. (D) περὶ] om. ε (praeter B), παρὰ Gaulm. 13 παρθένον] τὴν παρθένον B, παρθένου P[1] ζητεῖ B, ζητήσει rell. 14 τῆς] uncis inclusit Hercherus 15 εἰ μὲν οὖν ἡ] ἡ μὲν οὖν εἰς B 16 ἔψευσται — ἀποσεσύληται] ἀποσεσύλησθαι καὶ τὸ σεμνὸν οὐ κατέψευσθαι B 2. τὸ] τοῦτο τὸ T 18 κούφως] κοῦφος Bζ ὕδασι φέρεται] ὕδασιν ἐπινήχεται V.

5 φάνῳ κατακεκοσμημένη τὴν κεφαλήν· εἰ δ' Ἀφροδίτης 242
πνεῦμα παρθενικὴν λαμπάδα κατέσβεσε καὶ λαθὼν Ἔρως τὴν παρθενίαν ὑπέκλεψε, τείνει τὸ τόξον Ἄρτεμις, παρθένος θεά, κατὰ τῆς μὴ παρθένου, τῆς ἐψευσμένης αὐτήν, καὶ βάλλειν δοκεῖ κατὰ τῆς κεφαλῆς· ἡ δὲ φρίσσει τὸ βέλος, τὴν κεφαλὴν τοῖς ὕδασιν ὑποκρύπτεται, τὸ
6 ὕδωρ ἀνακαχλάζον ὑφαιρεῖ τὸν στέφανον. Πᾶν οὖν ὅσον τοῖς βαρβάροις ἐδασμολογήθη παρθενικόν, ἐκ δάφνης στεφανωθὲν τῇ πηγῇ κατεβάπτετο· καὶ ὅσον μὲν οὐ κατέδυ τὴν κεφαλήν, ὅσον οὐκ ἀφῃρέθη τὸν στέφανον, ἠργυρολογήθη πολλοῦ· ὅσον δὲ τὴν παρθενίαν κατέψευστο, τὴν τριήρη κατεκληρώσατο καὶ ταῖς γυναιξὶ συνηρίθμητο, καὶ χρυσοῦ χαλκὸν ἀντηλλάξατο, τοῦ τῆς δάφνης παρθενικοῦ στεφάνου παστάδα βαρβαρικήν.

8 Οὕτω μὲν οὖν εἶχε τὰ περὶ τὴν Ἀρτύκωμιν, καὶ οὕτω τῆς τριήρους ἐξεφορτώθη τὰ λάφυρα· καὶ πάλιν ἡ τριήρης τοῖς συνήθεσι κατεπτεροῦτο πτεροῖς, καὶ πάλιν

1 κατακεκοσμημένη] κατακεκοσμημένην ἔχουσα V 2 παρθενικὴν λαμπάδα] λαμπάδα παρθενικὴν B 3 τὴν BVR, ὅλην τὴν Jδ ὑπέκλεψε] ἀπέκλεψε (—εν ζ) ε (praeter B) τείνει τὸ τόξον Ἄρτεμις] τὸ τόξον ἄρτεμις τείνει B 3 sq. παρθένος θεά] om. B 4 θεά V, νέα R, θεός rell. 1. τῆς κ, om. rell. παρθένου] παρθένων ζ τῆς ἐψευσμένης] τῆς ἐψευμένης JR, τοῖς ἐψευσμένοις ζ 5 αὐτήν] αὐτῇ V, αὑτήν Le Basius βάλλειν] βαλεῖν B δοκεῖ] δοκεῖν R τῆς κεφαλῆς BV, τὴν κεφαλήν R, κεφαλήν Jδ 5 ἡ — 6 κεφαλὴν] om. O 6 τὸ βέλος] τῷ βέλει R τὴν] καὶ τὴν η (praeter B) τοῖς] ἐν τοῖς Le Basius ὑποκρύπτεται] ἀποκρύπτεται BJ, ἐπικρύπτεται V 2. τὸ] καὶ τὸ κ 7 ὕδωρ] ὕδωρ ἐκεῖνο κ ἀνακαχλάζον] ἀνακαχλάζει (ἀνακαγχλάζει ζ) ε (praeter κ) ὑφαιρεῖ] ἀφαιρεῖται β 8 ἐδασμολογήθη] ἠδασμολογήθη Tζμ 9 στεφανωθὲν] ἐστεφανωθὲν R κατεβάπτετο] κατεβάλλετο V 11 ἠργυρολογήθη] ἠργυλογήθη V πολλοῦ] πολλῶν V κατέψευστο] κατέστευστο R 12 τριήρη] τριήρην R κατεκληρώσατο] κεκλήρωτο J 13 χρυσοῦ] χρυσοῦν η (praeter κ) χαλκὸν] καλκὸν R, χαλκῷ V[1], om. λ 14 βαρβαρικήν] παρθενικήν T 16 οὕτω] οὕτως BN τῆς τριήρους] om. B ἐξεφορτώθη] ἐξεφορτίσθη R λάφυρα] λάφυλα ζ.

τὸ βάρβαρον ἐφ' ἑτέραν ἐστέλλετο· καὶ ἡμεῖς δοῦλοι βαρ-
2 βάρων ἐξ ἐλευθέρων εἱλκόμεθα. Περὶ δὲ τρίτην ἡμέραν
ἐπί τινα λιμένα καταίρομεν ἕτερον, καὶ τὴν τριήρη περὶ
τὴν ἤπειρον μεθελκυσάντων ἡμῶν καὶ ὅλην ταύτην ἐξα-
ψαμένων τοῖς πείσμασιν ὅλον τῆς νεὼς ἐξέπτη τὸ βάρβαρον
καὶ περὶ τὴν ψάμμον ἐγένετο καὶ τὰς γυναῖκας συμμε-
θειλκύσατο καὶ ὅλην σκηνὴν ἐγγὺς κυμάτων ἐπήξατο
3 καὶ λαμπρὰν ἡτοιμάσατο τράπεζαν. Καὶ μετὰ δὴ πολ-
λὰς τὰς τροφὰς καὶ πόσεις καὶ βαρβαρικά τινα παίγνια
καὶ τἆλλ' ὁπόσα βαρβαρικῶς ἀσέμνως ταῖς γυναιξὶ κατε-
χρήσατο, σὺν αὐταῖς γυναιξὶ πρὸς ὕπνον ἐτράπη τὸ βάρ-
βαρον, ὅλαις ἡδοναῖς καταβαπτισθὲν τὴν ψυχὴν καὶ ὅλοις
καταμεθυσθὲν τοῖς ἔρωσιν.

9 Οὕτω μὲν οὖν εἶχε τὸ βάρβαρον· ἡμεῖς δ' ἐκ πυ- 243
θμένος τοῦ σκάφους τῇ μέθῃ τῶν βαρβάρων θαρρήσαντες
ἑαυτοὺς ἀνηγάγομεν, καὶ μυρίοις κατετυραννούμεθα λογι-
σμοῖς ἢ τῆς τριήρους ἀποβῆναι περὶ τὴν ἤπειρον ἢ σὺν
αὐτῇ τριήρει τὰς χεῖρας τῶν βαρβάρων φυγεῖν ἢ τοῖς
ὅπλοις Ἑλληνικῶς καθοπλίσασθαι, ὅσα τριήρης φέρει πολλά,

1 βάρβαρον — δοῦλοι] om. F[1] ἐφ' ἑτέραν] ἐφ' ἑτέρους F[2], ὑφ' ἑτέραν R, ὑφ' ἑτέρου B, ἐξ ἑτέραν (sic) P ἐστέλλετο] ἐστέλλοντο V 2 ἐξ] om. O τρίτην] τὴν τρίτην N 4 μεθελκυσάντων] μεθειλκυ(ου P)σάντων ζ 4 sq. ἐξαψαμένων τοῖς πείσμασιν] τοῖς πείσμασιν προσερείσαντες V 6 ἐγένετο] ἐγένοντο V 6 sq. συμμεθειλκύσατο] συμμεθελκύσαντο V, συμμεθειλκύσαντο ζ, ξυμμεθειλκύσατο F, ξυμμεθειλκύσαντο (—ελκ—N) ATλ 7 ἐγγὺς] ἐντὸς (ἐν τοῖς O) ε (praeter κ) ἐπήξατο] ἐπήξαντο ε (praeter κ) 8 ἡτοιμάσατο] ἡτιμάσατο V, ἡτοιμάσαντο ε (praeter κ) δὴ] om. η (praeter B) 9 τὰς] τινας V, om. R τινα] om. N 10 βαρβαρικῶς] om. N, βαρβαρικῶς καὶ Gaulm. ἀσέμνως ταῖς γυναιξὶ] ταῖς γυναιξὶ ἀσέμνως N, ἀσέμνως V 10 sq. κατεχρήσατο] κατεχρήσαντο (κατατε—F[1]) η (praeter N[1]κ) 13 καταμεθυσθὲν Hercherus, καταμεθύσαν α 14 εἶχε] om. R 15 τῇ] τὰ Tζ 17 ἀποβῆναι περὶ τὴν ἤπειρον] περὶ τὴν ἤπειρον ἀποβῆναι B 18 αὐτῇ] om. P τριήρει] τριήρη OR βαρβάρων] βαργάρων O φυγεῖν] φευγεῖν (sic) P 19 τριήρης] τριήρεις O.

καὶ τοῖς βαρβάροις κατεπιθέσθαι καὶ ἢ νικᾶν ἢ πίπτειν
2 μαχομένους ἡμᾶς. Ταῦθ᾽ ἡμεῖς, καὶ στρατὸς ὁπλίτης περὶ τὴν ἤπειρον τοῖς βαρβάροις κατεπιτίθεται, ὅλοις ὑπνοῦσιν, ὅλοις καταβεβακχευμένοις ἐξ οἴνου καὶ ἔρωτος· καὶ τὸ μὲν βάρβαρον ἅπαν ἄλλο κατεληΐζετο, ἡμεῖς δ᾽ Ἑλληνικὴν βαρβαρικῆς δουλείας ἀντηλλασσόμεθα, καὶ δοῦλοι πάλιν ἐκ δούλων γεγόναμεν, καὶ βαρβάροις δεσπόταις γεγονότες ὁμόδουλοι καὶ αὐτοῖς δεσπόταις συναιχμαλωτιζόμενοι ὁμογλώσσοις Ἕλλησιν ἐδουλογραφούμεθα.
3 Καὶ περὶ μέσην ἀγορὰν καὶ πόλιν Δαφνήπολιν, πόλιν Ἀπόλλωνος ἱεράν, στρατηγὸς καὶ στρατὸς ἐφ᾽ ἡμῖν θριαμβεύει τὰ ἐπινίκια, καὶ ἡ πόλις κροτεῖ καὶ ἀλαλάζει χαρμόσυνα· καὶ πάντες ἡμεῖς ἡ λεία, τὸ λάφυρον, ἐλεεινῶς ἐφειλκόμεθα μέχρις Ἀπόλλωνος ἱεροῦ, ὃ δὴ θαῦμα φέρει πόλις Δαφνήπολις.

10 Ἅμα γοῦν τὸ πᾶν περὶ τὸν βωμόν· κἀγὼ τοὺς πόδας περιχυθεὶς τοῦ θεοῦ καὶ ὅλους πλύνων τοῖς δάκρυσι "σὺ στῆσον, Ἄπολλον" εἶπον, "τὸν κλύδωνα, συμπαθὲς εὔδιον ἀντιπνεύσας τοῖς ἐμοῖς δυστυχήμασι. Διὸς

1 κατεπιθέσθαι] κατεπιτίθεσθαι K καὶ ἢ V, καὶ AFλ, ἢ rell. 2 ἡμᾶς] uncis inclusit Hercherus στρατὸς] τρατὸς N 4 καταβεβακχευμένοις] κατεκβακχευμένοις M, βεβακχευμένοις V ἐξ οἴνου καὶ] καὶ οἴνου ἐξ R 5 ἄλλο Rζ, ἀλοκὺ J, ἄλλη (ἄλλοις F corr.) ϑ, om. KVι (lacunam indicat K) δ᾽] δ᾽ ἐξ R 6 Ἑλληνικὴν] ἑλληνικῶς V βαρβαρικῆς] βαρβάρων V δουλείας] δουλίας V ἀντηλλασσόμεθα] ἀνταλλασσόμεθα (— σ— FRμ) Rη (praeter B) 7 sq. δεσπόταις] delevit Osannus 8 γεγονότες — δεσπόταις] om. Teucherus γεγονότες] ὄντες η (praeter B) αὐτοῖς δεσπόταις] δεσπόταις αὐτοῖς Hercherus in adnot. 9 ὁμογλώσσοις] ὁμογλώσσων J 10 πόλιν Δαφνήπολιν, πόλιν] πόλιν δαφνή(—ί—A)πολιν ABFK, Δαφνήπολιν Osannus 12 ἐπινίκια] ἐπινίκεια V 13 πάντες] πάνθ᾽ Jε (praeter κ) τὸ λάφυρον] τῶν λαφύρων R, τὸ λάφυλον O 14 ἐφειλκόμεθα] ἐφελκόμεθα PV, ἀφειλκόμεθα K μέχρις] μετὰ T ἱεροῦ] ἱερόν B ὃ] οὗ T δὴ] om. V 16 περὶ] ἐπὶ BJK 18 σὺ στῆσον] σύστησον NVζ Ἄπολλον] ἀπόλλων ζ, om. B εἶπον, τὸν κλύδωνα] τὸν κλύδωνα, εἶπον BVR 19 συμπαθὲς] συμπαθὲς καὶ J εὔδιον] εὔδειαν κ τοῖς] om. η (praeter B).

κήρυξ σοῦ πατρὸς ἧκον ἐξ Εὐρυκώμιδος εἰς Αὐλίκωμιν, ἐκ
δάφνης ταύτης τῆς σῆς τὴν ἐμὴν ταύτην ἀθλίαν στεφα-
νωθεὶς κεφαλήν· ἀλλ' Ἔρως σὸς ἀδελφὸς ῥόδοις ταύτην
2 ἀντεστεφάνωσεν· οὗτός μοι τὴν παρθενίαν ἐσύλησεν ἢ
μᾶλλον ἐρωτικῶς ἀντηλλάξατο, Ὑσμίνην παρθένον ἀθλίαις
ταύταις ἀντιπαραθείς μοι χερσίν, ἣν καὶ Ποσειδῶν παρ- 244
θένον ἀνήρπασεν ἐξ ἐμῶν τούτων ἀθλίων χειρῶν καὶ
μέσης ψυχῆς, ὅλῳ πνεύματι πνεύσας, ὅλῃ θαλάσσῃ καὶ
3 κλύδωνι. Σὺ δέ μοι στῆσον τὸν κλύδωνα καὶ τὴν Ὑσμίνην
παράθου μοι τῇ χειρί, ἢ κἀμὲ πρὸς αὐτὴν Ὑσμίνην ὅλον
μετάγαγε. Δοῦλος ἀντ' ἐλευθέρου γεγένημαι καὶ τρίδουλος
ἀντὶ κήρυκος, Ἔρωτι δουλογραφηθεὶς τὰ πρῶτα, καὶ
βαρβάροις τούτοις τὸ δεύτερον, καὶ τρίτον τοῖς ἐκ τῆς
σῆς ταύτης Δαφνηπόλεως Ἕλλησι."

11 Ταῦτ' ἔλεγον καὶ τοῖς αἰχμαλώτοις συνεφειλκόμην
περὶ δάφνην καὶ τρίποδα· καὶ χρησμός με καὶ κλῆρος πάλιν
δουλογραφεῖ· καὶ πάλιν δοῦλος καὶ τρίδουλος ἐγώ, καὶ
τῷ δεσπότῃ περὶ τὴν οἰκίαν μεθέλκομαι, ᾧ χρησμὸς καὶ
2 κλῆρος τὴν ἐμὴν ἐχαρίσατο δούλωσιν. Ἡ δέ μοι δεσπότις
φησὶ

"τίς πόθεν εἷς ἀνδρῶν, πόθι τοι πόλις ἠδὲ τοκῆες;"

1 σοῦ] τοῦ J, om. A πατρὸς] πατρός, ἄπολλον κ 2 τῆς] om. κ σῆς] om. X ταύτην ἀθλίαν] ἀθλίαν ταύτην V 4 οὗτός] οὕτως P 5 ἀθλίαις — 6 Ποσειδῶν] om. F[1] 6 sq. παρθένον] παρθένων R, παρθένος K, om. F 7 ἐμῶν] ἐμοῦ B τούτων ἀθλίων] ἀθλίων τούτων V 9 σὺ — κλύδωνα] om. η (praeter κ) 10 παράθου] παρθένου P αὐτὴν] αὐτὴν τὴν λ ὅλον] om. BV 11 μετάγαγε] με κατάγαγε N 13 τὸ δεύτερον κ, om. rell., τοῦτο τὸ δεύτερον Le Basius τοῖς] τῆς O, τὴν ζ 14 ταύτης] om. B Ἕλλησι] ἕλκουσι V 15 ταῦτ'] τοῦτ' P αἰχμαλώτοις] βαρβάροις B 17 δουλογραφεῖ] δολογραφεῖ V, δουλογραφεῖν O δοῦλος καὶ τρίδουλος Hercherus, τρίδουλος καὶ δοῦλος α 18 μεθέλκομαι] μεθειλκόμην η (praeter κ) 18 ᾧ — 19 ἐμὴν] om. O 19 μοι δεσπότις] μη δεσπώτης O 21 εἷς Vη (praeter B), ἧς rell. πόθι Rη (praeter κ), πόθεν rell., πόθε Gaulm. τοι πόλις] τ' (sic) ἡ πόλις B, τῇ πόλει ζ ἠδὲ] οἵδε C, οἱ δὲ M, οἱ δε P τοκῆες] τοκέες B.

Ἐγὼ δ' ἀλλ' "ὦ δέσποινα, δοῦλος σός· τὰ δ' ἄλλα ζητοῦσα
μαθεῖν ὅλον δρᾶμα ζητεῖς καὶ ὅλον τραγῴδημα. Παρά-
δειγμα Τύχης ἐγώ, νερτέρων σκιά, δαιμόνων παίγνιον,
3 Ἐριννύων τράπεζα." Καὶ λέγων τοὺς ὀφθαλμοὺς ἐπεπήγειν
τῇ γῇ καὶ ὅλην τοῖς δάκρυσιν ἔβρεχον· ἡ δ' ἀλλ' ἐπέ-
σκηπτε λέγουσα "μὴ φείσῃ μηδενός, ἀλλὰ πάντ' ἐκ-
4 κάλυπτε λέγων." Ἐμοῦ δ' ἐπέλιπεν ἡ φωνή, καὶ ἐπεί-
χετο ἡ γλῶσσα, καί μου τῶν ὀφθαλμῶν κατὰ ποταμοὺς
ἀπέρρει τὸ δάκρυον. Ὁ δέ μου δεσπότης (παρῆν γὰρ καὶ
αὐτὸς) "καιρὸς ἀρίστου" φησίν, "ἀνακλιθῶμεν ἐπὶ τὸ
δεῖπνον, καὶ περὶ τὴν τράπεζαν καὶ μέσας τροφὰς τῇ
γλώσσῃ τοῦ δούλου καιρὸν χαρισώμεθα."

12 Τοίνυν παρετίθετο τράπεζα, καὶ οἱ δεσπόται μὲν 245
ἀνεκλίνοντο, ἐγὼ δὲ παρειστήκειν δουλοπρεπῶς· καὶ
πάλιν ἡ δεσπότις πρός μέ φησιν "ἰδού σοι καιρὸς τῇ
2 γλώσσῃ κατὰ μέρος ἡμῖν καταζωγραφῆσαι τὰ σά." Ἐγὼ
δὲ καὶ μόνον ἐπιμνησθεὶς ἐλεεινὸν ἐβρυχησάμην ἐγκάρ-
διον, πολλὰ δὲ τῶν ὀφθαλμῶν κατέσταξα δάκρυα "φεί-
σασθε" λέγων, "δεσπόται, δυστυχημάτων ἐμῶν, μὴ
τὴν τράπεζαν εἰς κοπετὸν μεταβάλω καὶ πένθους ὑμῖν

1 ζητοῦσα] ζητούμενα (ζητουμένη A) η (praeter κ) 2 μαθεῖν] om. η (praeter B) ζητεῖς] ζητεῖ Aμ 4 λέγων] λέγων ἐδάκρυσα καὶ N 5 sq. ἐπέσκηπτε VRη (ἐπέσκωπτε κ), ἐπίσκηπτε rell., ἐπικύπτει μοι? Hercherus 6 μηδενός] μηδ' ἑνός F 7 λέγων] λέγουσα N ἐπέλιπεν] ἔλιπεν R 7 sq. ἐπείγετο ἡ γλῶσσα scripsi, ἡ γλῶσσα ἐπείχετο α ἐπείχετο] ἐπίφγετο Gaulm. 8 κατὰ ποταμοὺς] om. B 10 τὸ] τῷ R 11 τὴν BVR, om. rell. 12 χαρισώμεθα] χαρισόμεθα OR, χρησώμεθα V 13 τοίνυν] καὶ τοίνυν B 14 δὲ παρειστήκειν] δὲ παρεστείκειν μ, δ' εἱστήκειν J 15 sq. τῇ γλώσσῃ κατὰ μέρος ἡμῖν VR, τῇ γλώσσῃ B, κατὰ μικρὸν ἡμῖν τῇ γλώσσῃ η, κατὰ μέρος ἡμῖν τῇ γλώσσῃ JKζ 17 δὲ] om. P 18 κατέσταξα] κατεστάλαξα (—λλ—V) Vλ, κατεπέσταξα (κατεπεστάλαξα A) ζθ 18 sq. φείσασθε] φείσασθαι P[1]TRλ 19 δεσπόται] om. J μὴ] καὶ μὴ R 20 μεταβάλω JK, μεταβάλλω rell. πένθους] πένθος R ὑμῖν] ἡμῖν KTVζ.

κρατῆρα κεράσωμαι." Καὶ λέγων οὐκ ἔπειθον καὶ μὴ πείθων

"αἰαῖ, τὸ δοῦλον ὡς κακὸν πεφυκέναι"

φημί,

"τολμᾷ θ' ἃ μὴ χρὴ τῇ βίᾳ νικώμενον.

13 Ἐμοὶ πατρὶς πόλις Εὐρύκωμις, πατὴρ Θεμιστεὺς καὶ
μήτηρ Διάντεια· εἰ δ' εὐτυχοῦντες, εἰ τὰ πρῶτα φέροντες
τῶν ἐν Εὐρυκώμιδι, οὐκ ἐμόν ἐστι λέγειν. Καιρὸς Διασίων
τῇ πόλει, καὶ πανήγυρις λαμπρὰ τὰ Διάσια· ἐγὼ δὲ
δάφνῃ στεφανωθείς, χιτῶνι κατακοσμηθείς, ἀρβύλῃ σεμνῇ,
καὶ ὅλον περιδυθεὶς τὸ κηρύκειον κῆρυξ ἧκον εἰς Αὐλικώ-
2 μιδα. Καί μου τὸν στέφανον Ἔρως ἐσύλησεν, Ὑσμίνῃ
παρθένῳ περικαλλεῖ Σωσθένους θυγατρὶ τὰ πρῶτα τῶν
ἐπ' Αὐλικώμιδος φέροντος ἀγκίστρῳ χρησάμενος· καὶ δοῦ-
λος Ἀφροδίτης εἰς τὴν ἐμὴν Εὐρύκωμιν ἀνθυπέστρεψα
3 σὺν αὐτῇ παρθένῳ καὶ τῷ ταύτης πατρί. Τὰ δ' ἐφεξῆς
ὁποῖα; Σωσθένης πατὴρ Ὑσμίνης ἐν μέσῃ τραπέζῃ καὶ
δείπνῳ πολυτελεῖ γάμον ἕτερον κηρύσσει τῆς θυγατρός,
ὃν ἡδέως φεύγοντες ἡμεῖς πικρῶς ἁλισκόμεθα, εἰς πῦρ
ἐκ καπνῶν ἐμπεσόντες κἀξ ὄμβρων εἰς θάλασσαν. Ναῦς
ὑπηρέτις ἡμῖν τῇ φυγῇ, πρὸς ἣν Ποσειδῶν ἀντιπνεῖ· καὶ
θῦμα ζητεῖ, καὶ τὸ θῦμα κληρούμεθα, καὶ ἦν ὁ κλῆρος
4 ἐπὶ τὴν Ὑσμίνην πεσών. Ἡ δέ μου τῶν χειρῶν ἐλεεινῶς 246
ἐκσπασθεῖσα κατὰ κυμάτων ὠθεῖται, καὶ τὸ μὲν ναυτικὸν

1 κεράσωμαι] κεράσομαι BK 2 πείθων] πείθων ἔλεξα κ 3 αἰαῖ Hercherus, αἲ αἴ α 4 φημί] om. κ 5 θ'] δ' V 6 ἐμοὶ] ἐμὴ BV καὶ] om. ε (praeter B) 7 2. εἰ JK, εἰς R, οἱ V, ἢ rell. φέροντες] φέρονται R 8 τῶν] om. JV ἐν] ἐπ' B, om. P Εὐρυκώμιδι] εὐρυκώμισιν R 11 περιδυθεὶς] περιδεθεὶς B, περιδηθεὶς λ 11 sq. Αὐλικώμιδα] Αὐλίκωμιν Hercherus 14 αὐλικώμιδος R, αὐλικώμιδα K, αὐλικώμιδι rell. φέροντος] φέροντα K χρησάμενος] χρισάμενος A 15 Εὐρύκωμιν] κωμιν X 20 καπνῶν] καπνῶ P κἀξ] ἐξ V ὄμβρων] ὄμβρον OR ναῦς] κρατισθένης καὶ ναῦς κ 21 ὑπηρέτις] ὑπηρέτης BOVζ 22 κληρούμεθα] πληρούμεθα Gaulm. 23 πεσών] om V 24 ἐκσπασθεῖσα] ἐκσπασθεῖσαν ζ κατὰ] τῶν T 24 καὶ — 138, 1 κλύδωνος] om. N.

ἐξάγει τοῦ κλύδωνος, ἐμὲ δ' εἰς μέσας θαλάσσας ἐμβάλλει καὶ κλύδωνα καὶ θρήνων καὶ κωκυτῶν· ἃ δὴ μὴ φέρον τὸ ναυτικὸν τῆς νεὼς περὶ τὴν χέρσον ἐκσφενδονᾷ με, καὶ τὸ βάρβαρον τοῦτο τὸ νῦν συναιχμάλωτον αἰχμάλωτον ἄγει με· ὅθεν ἐκ σῆς ταύτης πάλιν ἠχμαλωτίσθην χειρός, δοῦλος ἐκ δούλου γενόμενος καὶ τρίδουλος ἀντὶ κήρυκος."

14 Ταῦτ' ἔλεγον καὶ κατεβρεχόμην τοῖς δάκρυσιν· ἡ
δέ μοι δεσπότις φησὶν "ὅλον δρᾶμα τὰ κατὰ σὲ καὶ ὄντως
2 τραγῴδημα· τὰ δ' εἰς δεσπότας ἡμᾶς εὐτυχεῖς." Ἐγὼ
δ' "ὅτι δεσπότας μᾶλλον ἔχω, δυστυχῶ" πρὸς τὴν δέσποιναν ἔλεγον·

"ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν,
φέρει μέν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ."

3 Καὶ ὁ δεσπότης φησὶν "εἰ μέν σοι πατρὶς περιφανὴς καὶ
γένος λαμπρὸν καὶ τὰ κατ' οἴκους πολυτελῆ, νῦν τούτων
4 ἔχεις οὐδέν· δοῦλος γὰρ εἶ καὶ δοῦλος ἡμῶν· εἰ δὲ καὶ
σωφροσύνης καὶ παρθενίας ἀφροσύνην ἀντηλλάξω καὶ ἔρωτα, εἰ δὲ καὶ στεφάνων δάφνης παρθενικῆς στέφανον ἐκ ῥόδων ἐρωτικόν, μή σύ γε τὸ ἀπὸ τοῦδε· ἀλλὰ κτῆσαι

1 ἐξάγει] ἐξάγει ταύτην Gaulm. ἐμβάλλει] ἐμβάλει Rλ 2 θρήνων scripsi, θρῆνον (θρύνον O) α κωκυτῶν scripsi, κωκυτόν α ἃ] ὃ Hercherus 4 τοῦτο] τοῦτον J 2. τὸ] om. ϑ αἰχμάλωτον] om. AF'Pλ 5 ἐκ σῆς] ἐξῆς V[1], ἐκ τῆς σῆς B, ἐκ τῆς T ταύτης] om. V χειρός] om. M 6 δούλου] δούλων R καὶ τρίδουλος ἀντὶ κήρυκος ε (praeter B), om. rell. 8 μοι] μη R τὰ κατὰ] τὸ κατὰ ATλ, ταῦτα P ὄντως] ὅλον BVR 10 μᾶλλον ἔχω KVR, μᾶλλον ἔχων Jε (ἔχω μᾶλλον κ) 10 sq. δέσποιναν] δεσπότιν V 12 γεύεσθαι] γέβεσθαι R 13 ἀλγεῖ] αὐγεῖ O αὐχέν'] αὐχένα V, αὐχένι λ ἐντιθεὶς] τιθεὶς V ζυγῷ] ζυγόν V[1], ζητῶ P, ζυγῷ· θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος B (cf Eurip. Hec. 377) 14 ὁ δεσπότης] ἡ δεσπότις B εἰ] ἡ κ 15 πολυτελῆ] πολυτελεῖς R 16 γὰρ] μὲν R 2. καὶ] om. B 17 ἀφροσύνην] ἀφροδίτην β ἀντηλλάξω] τηλλάξω P 18 εἰ — 19 ἐρωτικόν] om. V 18 στεφάνων] στεφάνων καὶ ε (praeter κ), στεφάνων ἐκ Le Basius παρθενικῆς] παρθενικῶν (παρθενικῶς P[1]) Jε (praeter κ) 19 ῥόδων] ῥόδον R ἐρωτικόν] παρθενικῶν B σύ Hercherus, σοῦ B, σοί rell. τὸ] τὰ V τοῦδε] τούτου B.

τὸ σῶφρον καὶ τὸ φιλόσωφρον ἀγάπησαι, ἵνα μὴ τὴν σωφροσύνην ἐξ ἔργων μάθῃς αὐτῶν καὶ χεῖρα δεσπότου κτήσῃ διδάσκαλον.''

15 Ταῦθ' ὁ δεσπότης· ἐγὼ δ' ἐσίγων καὶ τοὺς ὀφθαλμοὺς
εἶχον ὁρῶντας εἰς γῆν καὶ ὅλους δακρύων μεστούς. Καὶ
οὕτω πέρας τὰ τῆς τραπέζης ἐδέχετο· καὶ ὁ τῶν Δια-
σίων κῆρυξ Ὑσμινίας ἐγώ, ὁ τῆς δάφνης στεφανωθείς, ὁ
2 λαμπρῶς τὸ πρῶτον πλεύσας ἐξ Εὐρυκώμιδος, ὁ περὶ τὴν
Αὐλίκωμιν βασιλικῶς ἐφ' ἅρματος ἱππασάμενος, ὁ πολυ- 247
τελῶς ἐπὶ τῆς τοῦ Σωσθένους λαμπρᾶς τραπέζης ἀνακλι-
θείς, ἐπὶ δουλικῆς τραπέζης νῦν ἀνακέκλιμαι σὺν ὁμοδούλων
χορῷ καὶ τὰ τῶν δούλων ὑπηρετῶ καὶ ὅλος δοῦλός εἰμι
καὶ ὅλην δουλείαν ἐνδέδυμαι καὶ ὅλην δουλοπρέπειαν
ὑποκρίνομαι, ὅλον ἀποδυθείς, ὦ Ζεῦ καὶ θεοί, τὸ κηρύκειον
καὶ ὅλον τὸ ἐλεύθερον.

3 Οὕτω μὲν οὖν εἶχε τὰ κατ' ἐμέ, καὶ οὕτως ἐδούλευον· ἀλλ' οὐδ' ἐν μέσοις οὕτω δεινοῖς Ὑσμίνης λήθην παρθένου φίλης ἐμῆς ἔπαθον, οὐ νὴ τὸν φοβερὸν Ἔρωτα καὶ τὴν τῶν τοσούτων δυστυχημάτων πηγήν.

1 ἀγάπησαι] ἀγάπησον Le Basius 2 sq. καὶ — διδάσκαλον] κτήσῃ δὲ χεῖρα δεσπότου διδάσκαλον? Gaulm. 2 χεῖρα] χεῖρας V 2 sq. δεσπότου κτήσῃ (κτήσει K, κτῆσαι V) α, κτήσῃ δεσπότου Le Basius 3 διδάσκαλον] διδάσκαλον δεσπότου τοῦ σοῦ B 4 ὁ δεσπότης] ἡ δεσπότις B 5 εἶχον ὁρῶντας] ὁρῶντας εἶχον R 6 οὕτω] οὔτε R 7 1. ὁ] καὶ ε (praeter κ) τῆς δάφνης] τῇ δάφνῃ KV 8 λαμπρῶς] λαμπρὸς MP, λαμπρὰ B τὸ πρῶτον] τὰ πρῶτα V 9 ἱππασάμενος] ἱππευσάμενος R, ἱπτασάμενος Pμ 9 sq. ὁ πολυτελῶς] ἀπολυτελῶς P 10 τοῦ] om. B λαμπρᾶς] λαμπρῶς OP²T, om. B 11 ἀνακέκλιμαι] ἀνακλίνομαι V σὺν ὁμοδούλων] καὶ συνομοδούλων V, σὺν ὁμοδούλοις η (praeter κ) 12 χορῷ — δούλων] om. η (praeter κ) 1. καὶ] om. V ὑπηρετῶ] ὑπηρετῶν OT ὅλος] ὅλως ε (praeter κ) 13 1. καὶ — ἐνδέδυμαι] om. B 1. καὶ] om. V δουλείαν] δουλίαν Rζ 14 ὑποκρίνομαι — 142, 8 πλῆθος] perierunt in T¹ 14 ὑποκρίνομαι] ὑποκλίνομαι P¹ 15 καὶ ὅλον τὸ ἐλεύθερον] om. η (praeter κ) ἐλεύθερον] ἐλευθέριον Vκ 16 εἶχε] εἶχον V 17 οὐδ' ἐν] οὐδὲν RY μέσοις] μέσης R Ὑσμίνης λήθην] om. K λήθην] ἐπελήσθην J 18 ἔπαθον BVRζ, om. rell. 19 καὶ] om. AJKYκ τῶν] om. Kη (praeter B) τοσούτων] πολλῶν V πηγήν] πληγήν J, θάλασσαν V.

16 Ὁ τῶν Διασίων ἧκε καιρός· καὶ κἂν Δαφνήπολις
οὐ τιμᾷ τὰ Διάσια, κἂν οὐκ ἄγῃ πανήγυριν, ἀλλ' ἔμ'
οὐ διέλαθε, καὶ τὴν μνήμην ἀνῆψε καὶ τὸν θρῆνον ἐξήγειρεν·
2 ἀλλ' ἤ μοι Τύχη καὶ τούτων ἐφθόνησεν. Ἐθρήνουν, ἀλλὰ
τὸν θρῆνον ὑπέκλεπτον· ἐδάκρυον, καὶ τοὺς ὀφθαλμοὺς
ὑπεκρυπτόμην τῶν δεσποτῶν· τὴν ψυχὴν εἶχον καὶ φωνὴν
καὶ γλῶσσαν καὶ δάκρυα. Δοῦλος ὁ κῆρυξ ἐλεεινολογούμενος
ὅλην ἀνεπλαττόμην τῷ νῷ τὴν Εὐρύκωμιν, τὴν Αὐλίκωμιν,
τὸ κηρύκειον, τὸν τοῦ Σωσθένους κῆπον, τὸ περὶ τὸν
3 κῆπον φρέαρ, τὰ παρὰ τούτῳ πτηνά, τὸν κατάχρυσον
ἀετόν, τὴν Ὑσμίνην κιρνῶσαν, ἐρωτικῶς μοι προσπαίζουσαν,
τοῖς ποσί μου συμπαίζουσαν, ταῖς κύλιξι καταπαίζουσαν,
καὶ τἆλλ' ὁπόσα (βαβαὶ τῶν ὡς ἐν ὀνείροις ἐρωτικῶν
ἡδονῶν) κατεπαίζομεν· καὶ ἐπὶ πᾶσι τούτοις "Ὑσμίνη
4 μοι φίλη" λεπτὸν ἐψιθύριζον. Οἷς μέσοις ἡ δεσπότις
αἴφνης ἐφίσταται καί μοί φησι "τί τοσοῦτον καταβαπτίζῃ

1 ἧκε] om. JP²Y καὶ] om. ϑ 2 ἄγῃ BJK, ἀπάγει λ, ἄγει rell. ἔμ' Hercherus, ἐμὲ α 3 τὸν] om. R 4 ἀλλ' ἤ μοι] ἀλλά μοι Y, ἀλλ' οἴμοι V, ἀλλ' ἤ με B, ἀλλ' ἡ R Τύχη] καὶ ἡ τύχη V 5 ὑπέκλεπτον BKVR, ἀπέκλεπτον (ἀπέκρυπτον Y) Jε 6 ὑπεκρυπτόμην] ἀπεκρυπτόμην ε (praeter B) εἶχον] ἐπεῖχον? Hercherus 7 z. καὶ] πρὸς Gaulm. δάκρυα] δάκρυα δοῦλα κ δοῦλος] ὁ δοῦλος B 9 sq. περὶ τὸν κῆπον] τοῦ κήπου V 10 παρὰ τούτῳ πτηνά] παρὰ τοῦτο πτηνά Rζ, παρὰ τοῦτον πτηνά ϑ, πτηνὰ τὰ παρὰ τοῦτον λ, περὶ τούτω πτηνά V 11 ἀετόν] ἀετόν, τὴν φιάλην καὶ πάντ' ἐκεῖνα τὰ κατ' αὐτό ε (praeter B) μοι] om. X 12 συμπαίζουσαν — καταπαίζουσαν] καταγαργαλίζουσαν V ταῖς] καὶ ταῖς N 13 ὁπόσα VR, ὁπόσα τούτων B, ὁπόσα τότε Jδ ὡς] om. BV ἐρωτικῶν KRκ, om. J, ἐρωτικῶς Vε 14 ἡδονῶν κατεπαίζομεν] ὧν κατεπαίζομεν ἡδονῶν F², κατεπαίζομεν ἡδονῶν η (praeter B), κατεπαίζομεν V 15 λεπτὸν] λεπτὸν συχνῶς V ἐψιθύριζον] ἐψιθύριζεν V μέσοις] μέσον V 15 sq. ἡ δεσπότις αἴφνης] αἴφνης ἡ δεσπότις κ, ἡ δεσπότις Jϑλ 16 καί — 141, 1 παρίσταται] om. Teucherus 16 καί μοί] μοι καί ε (praeter B), καί Le Basius 16 τί — 141, 1 δάκρυσιν] om. Gaulm. (D) 16 καταβαπτίζῃ] καταβαπτίζει Rζ.

τοῖς δάκρυσιν; ἰδού σοι παρίσταται· ἔχεις Ὑσμίνην ἐμέ, δέσποιναν σὴν καὶ δούλην ἐξ ἔρωτος." Ἐγὼ δ' οὐδὲν εἰπὼν εὐθὺς ἀπεπήδησα, καὶ μόνης Ὑσμίνης ἐτίμων τὸν ἔρωτα, 248 καὶ ὅλην ἐνωπτριζόμην αὐτήν.

17 Ὅσα μὲν οὖν μοι συνέπαιζεν ἡ δεσπότις ἐρωτικῶς καὶ κατεπετίθετο συνεχῶς καὶ ὅσα παρὰ τῷ δεσπότῃ κατελοιδόρει μου καὶ ὅσα με κατηπειλεῖτο καὶ χειρὶ καὶ γλώσσῃ καὶ κεφαλῇ, οὐ τῆς ἐμῆς ἂν εἴη ταῦτα γλώσσης λαλεῖν, ἵνα μὴ λαθὼν Ἔρως τῇ γλώσσῃ καταπορνεύσῃ μου τὴν ψυχὴν ἢ καὶ τὴν γλῶσσαν αὐτήν, ἣν Ὑσμίνῃ φυλάξω παρθένῳ μεστὴν χαρίτων ἐρωτικῶν καὶ μέλιτος Ἀφροδίτης, οὗ κατακόρως ἡμεῖς τῇ γλώσσῃ μόνῃ κατετρυφήσαμεν.

18 Καιρὸς οὖν ἑορτῆς, καὶ λαμπρὰ πανήγυρις Δαφνηπόλει τῇ πόλει, καὶ παρθένου Δάφνης φυγὴ τὰ τῆς ἑορτῆς καὶ φύσις ὁμωνύμου φυτοῦ, καὶ ἐπὶ πᾶσιν Ἀπόλλωνος ἑορτὴ καὶ πανήγυρις· παρθένος γὰρ ἡ Δάφνη καὶ παρθένος
2 καλή. Ταύτης Ἀπόλλων ἐρᾷ, καὶ ἡ παρθένος φρίττει τὴν συμπλοκὴν τοῦ θεοῦ καὶ ἀνανεύει τὸν ἔρωτα καὶ τὴν Γῆν δυσωπεῖ· ἡ δ' ἐλεεῖ τὴν κόρην καὶ φεύγουσαν κρύπτει καὶ παρθένον τηρεῖ καὶ φυτὸν ὁμώνυμον ἀντιδίδωσιν·
3 Ἀπόλλων τοῦ φυτοῦ στεφανοῦται καὶ παραμυθεῖται τὸν

1 ἰδού σοι παρίσταται] om. V, ἰδού σοι Le Basius Ὑσμίνην] ἰσμίνης P[1] 2 σὴν] om. B 3 ἀπεπήδησα] ἀνεπήδησα V μόνης] μόνην A Ὑσμίνης] om. R ἐτίμων] τίμων V 4 ἐνωπτριζόμην (ἐνωπτριζομένην M) Jζ, ἐνοπτριζόμην (ἐνπεριζόμην Y) rell. 5 συνέπαιζεν] κατέπαιζεν V 6 παρὰ] περὶ K 7 με KNR, μοι V, om. B, μου Jε κατηπειλεῖτο] κατεπηπειλεῖτο V, κατεπαπειλεῖτο κ 8 ἂν] om. VR 9 τῇ γλώσσῃ] om. BVR καταπορνεύσῃ] καταπορνεύσει O 10 ἣν — 12 sq. κατετρυφήσαμεν] om. V 10 Ὑσμίνῃ] ἰσμήνην R 11 φυλάξω] φίλαξα P ἐρωτικῶν] ἐρωτικὴν R 15 τῇ πόλει] om. BFKV 16 ὁμωνύμου φυτοῦ] ὁμώνυμος φυτοῦ κ, ὁμώνυμον φυτόν F[1], ὁμωνύμου φυτόν λ καὶ] om. Le Basius 19 τὴν συμπλοκὴν] τῇ συμπλοκῇ V 1. καὶ] om. V 2. καὶ] om. β 20 Γῆν] φυγὴν R δυσωπεῖ] καταδυσωπεῖ V 22 παραμυθεῖται] παραμυθοῦται R.

ἔρωτα. Παρὰ γοῦν τῇ δάφνῃ βωμὸς καὶ πόλις ὁμώνυμος·
Ἀπόλλωνος ὁ βωμός, καὶ ἡ πόλις Δαφνήπολις.
19 Ταῦτα δὴ ταῦτα. Πανήγυρις Δαφνηπόλεως, καὶ
κήρυκες στεφανῖται χρησμῷ λαμβάνοντες τὸ κηρύκειον.
Ἀπόλλων χρησμοδοτεῖ καὶ κήρυκα τὸν ἐμὸν δεσπότην
ἀνηγόρευσε καὶ κήρυκα λαμπρὸν ἐς Ἀρτύκωμιν· ὁ δὲ
στεφανοῦται τῆς δάφνης, διὰ μέσης ἀγορᾶς πομπεύει
2 λαμπρῶς, διὰ μέσου θριαμβεύει θεάτρου. Καὶ πλῆθος περὶ
τὸν κήρυκα, καὶ προπομπὴ λαμπρὰ καὶ ποικίλη, καὶ
τἆλλ' ὁπόσα κἀμὲ κατέπαιζε τὸ κηρύκειον· ὧν πάντων
μεμνημένος ἐγὼ μέσῳ λαμπρῷ θεάτρῳ καὶ λαμπρᾷ 249
τελετῇ πλήρει χαρίτων καὶ ἡδονῆς θρήνων ἐπληρούμην καὶ
κωκυτῶν, καὶ ὡς ἐν κεραυνῷ τῇ μνήμῃ τὴν ψυχὴν ὅλην
3 κατεκεραυνοβολούμην πυκνά. Οὕτω τοίνυν, οὕτω λαμπρῶς,
οὕτω πολυτελῶς καὶ φιλοτίμως ὁ κήρυξ καὶ δεσπότης
ἐμὸς περὶ τὴν οἰκίαν ἐγένετο, δάφνης ἐστεφανωμένος,
4 χιτῶνι κεκοσμημένος λαμπρῷ καὶ πεδίλῳ σεμνῷ. Μετὰ
γοῦν δὴ τὴν λαμπρὰν ἐκείνην πομπήν, ἣν κἀγώ ποτε
(βαβαὶ τῆς τύχης) ἐπόμπευον εἰς Εὐρύκωμιν, ὁ κήρυξ
σὺν αὐτῇ μοι δεσποίνῃ περὶ λαμπρὰν ἀνακέκλιται τράπεζαν,

1 παρὰ] περὶ V γοῦν BJNVR, γοῦν δὴ rell. δάφνῃ] δαφνηπόλει V πόλις] πόλιν X, πάλιν Y¹ζ, πόλις πάλιν F¹O 2 Ἀπόλλωνος] ἀπόλλων R ὁ] om. B βωμός] βωμὸς καὶ πόλις πάλιν ὁμώνυμος· ἀπόλλωνος ὁ βωμός F¹ Δαφνήπολις] om. X 3 2. ταῦτα] post h. v. lacunam indicavit Hercherus Δαφνηπόλεως] Δαφνηπόλει Gaulm. 6 ἀνηγόρευσε] ἀνήρηκε J ὁ] ἡ K 7 πομπεύει] προπομπεύει V 8 λαμπρῶς — θριαμβεύει] om. O 9 προπομπὴ JVRκ, πομπὴ ὁ λαμπρὰ καὶ ποικίλη KVRκ, ποικίλη λαμπρά Jε, ποικίλη καὶ λαμπρά Osannus 10 κἀμὲ] om. V κατέπαιζε] κατέπαιξε AFζλ ὧν] ὡς P 12 πλήρει] πλήρεις R, πλήρης η (praeter B) ἡδονῆς] ἡδονῶν P'θμ 13 τῇ μνήμῃ] τῆς μνήμης K, τὴν μνήμην R ὅλην] om. K 14 κατεκεραυνοβολούμην] κατεκεραυνούμην J, κεραυνοβολούμην P, κατεκεραυνοβουλόμην O, κατακεραυνοβολούμην M πυκνά] πυκνῶ ζθ, πυκνῶς λ 1. οὕτω] οὕτως N 15 πολυτελῶς καὶ φιλοτίμως] φιλοτίμως καὶ πολυτελῶς N 17 καὶ] om. θ 18 δὴ] om. ι πομπήν] om. X κἀγώ] ἐγώ V 20 αὐτῇ] αὐτῇ τῇ O μοι] om. V, μου Hercherus ἀνακέκλιται] ἀνακλίνεται JKV.

δάφνης τὴν κεφαλὴν ἐστεφανωμένος καὶ κῆρυξ ὢν ἐκ
κορυφῆς καὶ μέχρι ποδῶν.

20 Περὶ δὲ μέσην τὴν τράπεζαν ἡ δεσπότις φησὶ "κῆρυξ,
σὴν μὲν ταύτην ἐμὴν κεφαλὴν Ἀπόλλων λαμπρῶς ἐστεφά-
νωσε, κήρυκά σε λαμπρὸν στειλάμενος εἰς Ἀρτύκωμιν
καὶ κήρυκα λαμπρᾶς Ἀπόλλωνος ἑορτῆς· καί σοι τὰ
2 περὶ τὴν ὁδὸν εὖ διάθοιτο· δοῦλος δ' οὗτος ἡμῶν, ὃν
αἰχμή σοι καὶ γενναία χεὶρ ἐληίσατο, μή σοι συνέψοιτο
πρὸς Ἀρτύκωμιν· δοκεῖ γάρ μοι καὶ τῷ νῷ συνετός, καὶ
τῇ γλώσσῃ σοφὸς καὶ ὅλον συνέχων τὸ ἐπισκύνιον καὶ
συνεχῶς θρηνῶν καὶ κοπτόμενος· δέδοικα γοῦν μή τί
σοι νεανιεύσηται τῶν οὐκ ἀγαθῶν, ὅτι καὶ τὸ δοῦλον
3 τοῖς δεσπόταις πολέμιον." Καὶ ὁ δεσπότης φησὶν "ἀλλὰ
κατὰ τὴν τραγῳδίαν

χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
κακῶς πίτνοντα."

Ἡ δ' "ἀλλὰ 'χρηστοῖσι' φησὶν ἡ τραγῳδία· ὁ δὲ καὶ κῆρυξ γεγονέναι τερατολογεῖ καὶ γένος καὶ πατρίδα λαμπρολογεῖ καὶ ἄλλ' ἄττα πολλὰ καταγλωσσαλγεῖ."

1 δάφνης JVR, δάφνην K, δάφνη ε ἐστεφανωμένος] στεφανωμένος CPR, στεφανωμένοις M 2 κορυφῆς] κεφαλῆς ι καὶ] om. V ποδῶν] ποδῶν αὐτῶν V 3 τὴν] om. ι 4 σὴν] σὺν P, σὺ V, σοὶ ι ἐμὴν] εν (sic) δὲ V, del. Hercherus 5 λαμπρὸν VR, om. rell. 6 λαμπρᾶς] λαμπρῶς MV 8 χεὶρ] χεὶρ καὶ ψυχὴ V ἐληίσατο] ἐλεείσατο P 9 πρὸς] ἐς R 10 συνέχων] συνέχει V ἐπισκύνιον R, ἐπισχήνιον P, ἐπισκήνιον rell. 11 δέδοικα] δέδια V 11 sq. τί σοι] τισι ζ, ἔτι σοι T 12 τῶν] om. V οὐκ] om. P^2T ἀγαθῶν] ἀγαθόν V τὸ] om. Gaulm. 13 καὶ — φησὶν] om. ϑ 13 sq. ἀλλὰ — τραγῳδίαν] om. R 14 τραγῳδίαν] τραγωδίαν καὶ (del. F^2) ὁ δεσπότης φησὶν(—σὶ F)ϑ 15 ξυμφορὰ Hercherus, συμφοραὶ Rη, συμφορὰ rell. τὰ] τὰ τῶν Vζ, τῶν K 16 πίτνοντα J, πιτνῶντα ϑ, πίπτοντα V, πίτναται ζ, πίτνωνται X, πίτνονται rell., καὶ φρενῶν ἀνθάπτεται addunt ϑ 17 χρηστοῖσι] χρηστοῖς β φησὶν] om. AF καὶ] om. N^1V 18 πατρίδα] λαμπρὰν πατρίδα V 19 ἄλλ' ἄττα] ἄλλ' ἄττα V, ἄλλα τὰ MPϑ, ἄλλα τε ι, ἄλλα R πολλὰ] λαμπρῶς (om. P^2) ϑ, πολλὰ λαμπρῶς Le Basius.

21 Καὶ ὁ δεσπότης πρός μέ φησιν "εἰ κήρυξ, ὡς εἴρηκας,
γέγονας, οὕτω δὴ καὶ σὺ κατ' ἐμὲ τὴν κεφαλὴν ἐστεφά-
νωσαι." Ἐγὼ δ' "ἀλλὰ σύ μοι, δέσποτα κήρυξ, φεῖσαι
γλώσσης ἐμῆς οὕτω προπετῶς κινουμένης καὶ ἀναιδῶς.
2 Ἀληθῶς καὶ τοὺς πόδας κεκόσμημαι καὶ ποδήρη χιτῶνα
τουτουὶ λαμπρότερον περιδέδυμαι, ὅτι καὶ κήρυξ Διὸς
πατρὸς ἀνδρῶν τε θεῶν τε· σὺ δέ μοι σύγγνωθι, δέσποτα."
3 Καὶ πρὸς τὴν δεσπότιν ὁ δεσπότης φησὶν "ἴσως ποτ' ἦν
κήρυξ οὗτος ἐλεύθερος ὤν, κἂν βάρβαρος χεὶρ εἰς δουλείαν
μετήγαγε· τύχη γὰρ τὰ θνητῶν πράγματ', οὐκ εὐβουλία.
Εἰ γοῦν μοι συνέψοιτο περὶ τὴν Ἀρτύκωμιν, ἴσως οὐκ
4 ἀσυντελὴς ἔσται μοι τῷ κηρύγματι." Ταῦτ' εἶπε καὶ τῆς
τραπέζης ἀνέστη καὶ πρὸς τῷ λειτουργήματι γέγονε. Καὶ
πάλιν ἡ πόλις ὀρθή, καὶ πάλιν λαμπρὰ προπομπή,
καὶ πάλιν πανήγυρις, καὶ πάλιν ᾠδαί, καὶ τἆλλ' ὁπόσα
κοσμοῦσι τοὺς κήρυκας.

1 ὡς] om. V 2 sq. ἐστεφάνωσαι] ἐστεφάνωσε RT, ἐστεφάνωσας AF[1]K 3 σύ μοι VRϑ (σὺ P[2]), σὺ δέ μοι rell. δέσποτα] δεσπότης ζϑ 5 ἀληθῶς] ἀληθῶς κρείττω V ποδήρη] ποδήρει ι, om. V χιτῶνα] χιτῶνι ι 6 τουτουὶ ATRλ, τουτονὶ FKV, τουτοὶ J, τουτὶ BCM, τοῦτον P περιδέδυμαι] περιβέβλημαι ζϑ 6 sq. Διὸς πατρὸς] πατρὸς διὸς K 7 σὺ δέ μοι σύγγνωθι, δέσποτα] om. ι 9 κῆρυξ οὗτος VRι, οὗτος κῆρυξ rell. κἂν] καὶ ζϑ δουλείαν] δουλίαν B 10 θνητῶν] βροτῶν ϑ πράγματ', οὐκ] πράγματα κοὐκ ϑ εὐβουλία] εὐβουλεία V, εὐβουλίαι (εὐβουλαί X) ι 11 περὶ] πρὸς Vι τὴν] om. Vι 12 ἀσυντελὴς] ἀσυντελὲς V μοι] μου ι τῷ κηρύγματι] τὸ κηρύκειον V 13 τῷ λειτουργήματι] τὸ λειτούργημα ι 14 καὶ — 15 πανήγυρις] om. V 14 λαμπρὰ] om. K.

Θ

1 Οὕτω τοίνυν, οὕτω λαμπρῶς τὴν πρὸς τὴν Ἀρ-
τύκωμιν ἐστελλόμεθα. Καὶ περὶ ταύτην ὁ κήρυξ ἐγένετο,
καὶ πάλιν λαμπρὰ προπομπή, καὶ πάλιν ὄχλος καὶ
θρίαμβος, κόσμος ἀγυιῶν, καλλωπισμὸς ἀγορῶν, παρθένων
στεφάνωμα· περὶ γὰρ δὴ τοῦτο τὸ μέρος Ἀρτύκωμις
εὐτυχεῖ, παρθενίαν τιμῶσα καὶ βωμὸν Ἀρτέμιδος παρ-
2 θένου κόσμον ἔχουσα † κεφαλήν. Κυμβάλων πλῆθος κατα-
θέλγον τὴν ἀκοήν, παστάδων καλλωπισμὸς ἡδύνων τοὺς
ὀφθαλμούς, ῥόδων σταλαγμοὶ καὶ πᾶς εὐώδης καπνὸς
εὐφραίνων τὴν ὄσφρησιν καὶ πλῆθος ῥητόρων λαμπρῶν
ὑφαῖνον τὸν εἰσιτήριον.

2 Ὁ μὲν οὖν δὴ δεσπότης ἐμὸς ἐν μέσῃ ταύτῃ λαμ- 251
πρᾷ προπομπῇ καὶ ποικίλῳ θριάμβῳ καὶ πολυτελεῖ καὶ
οἷον Ἀπόλλων αὐτὸς ἐθριάμβευσεν ἄν, μακρὰ βιβὰς

1 1. οὕτω] liber nonus nondum incipit in λ 1. τὴν] om. Jε πρὸς] περὶ ι 2. τὴν] om. R 2 περὶ] παρὰ Gaulm. 3 πάλιν ὄχλος καὶ] om. Jζθ 4 κόσμος ἀγυιῶν] κόμος ἀγυρῶν O καλλωπισμὸς Hercherus, καλλώπισμα α παρθένων] παρ (sequitur spatium 2 litt.) V[1], παρθενίαν (in litura) V[2], παρθένον P 5 περὶ] παρὰ Jε 6 βωμὸν] βωμὸς ζθ 7 κεφαλήν] κεφαλῇ ζθ (P[2]), κεφαλαῖον Le Basius, καὶ φυλακήν? (cf. ad 70, 1) κυμβάλων] κύμβαλον J 8 παστάδων] παστάδος TV καλλωπισμὸς] καλλώπισμα J 9 ῥόδων σταλαγμοὶ] om. ι 10 λαμπρῶν JKR, λαμπρῶς Pθ, πολλῶν V, λαμπρὸν rell. 11 εἰσιτήριον] ἰσητήριον CPT 12 δὴ] om. Vι μέσῃ] μέσῃ πόλει N[1] 14 Ἀπόλλων αὐτὸς] αὐτὸς ἀπόλλων V 14 βιβὰς — 146, 1 ὀφρὺν] om. O 14 βιβὰς] om. ι.

ὥδευεν, οἷον ὑπερνεφέλῳ τῷ σχήματι, ὀφρὺν ἐπαίρων
2 μέχρις ἐς αὐτὸν οὐρανόν· ἐμὲ δ' ἡ μνήμη μέχρις ἐς
αὐτὸν Ἅδου κατῆγε πυθμένα καὶ τοὺς ὀφθαλμοὺς ἐπλήρου
3 δακρύων εἰς αὐτήν μου μέσην σταζόντων ψυχήν. Οἱ τῆς
Ἀρτυκώμιδος προύχοντες ζητοῦσι ξενίσαι τὸν κήρυκα,
καὶ ὅλον ἕκαστος πρὸς ἑαυτὸν ἀνθέλκεται καὶ μεθέλ-
κεται, καὶ καινή τις ἔρις καὶ φιλοξενίας ἀγών· εἴποι τις
ἰδὼν

ἀγαθὴ δ' ἔρις ἥδε βροτοῖσι.

3 Σώστρατος νικᾷ τὸν ἀγῶνα καὶ ἅρμα φέρων ἀνά-
γει καὶ περὶ τὴν οἰκίαν μετάγει τὸν κήρυκα καὶ φιλο-
φρονεῖται τοῦτον φιλοτιμότατα, ὅσα καὶ Σωσθένης Ὑσμι-
νίαν ἐμὲ πλὴν Ὑσμίνης πολυτελῶς ἐφιλοφρονήσατο· ἃ
πάντα μέσης ἥπτετό μου ψυχῆς, καὶ λήθης ηὐχόμην
2 κρατῆρα πιεῖν. Ὅλον ὁ κήρυξ ἀπετίθετο τὸ κηρύκειον, καὶ
τράπεζα πολυτελὴς παρετίθετο, καὶ παρθένος Ῥοδόπη
Σωστράτου θυγάτηρ οἰνοχοεύει, καλὴ μὲν κατὰ παρθένον
ἁπλῶς, πρὸς δέ γε τὴν ἐμὴν ἐκείνην Ὑσμίνην ὡς πρὸς
Ἀφροδίτην μιμώ. Τρυφαὶ ποικίλαι περὶ τὴν τράπεζαν,
ὅσαις οἶδε καὶ Σωσθένης φιλοφρονεῖσθαι τοὺς κήρυκας.

1 ὥδευεν] ὥδευσεν J, spatium 4 litt. R οἷον] om. V σχήματι] ὀχήματι Jι ἐπαίρων] ὥρων O 2 1. ἐς] om. ι αὐτὸν] αὐτὸν τὸν N 2. μέχρις] μέσον ι 3 αὐτὸν] αὐτῶν V, om. Pϑ ἐπλήρου] ἐπλήρουν BR 4 μέσην] μέσον R 6 πρὸς ἑαυτὸν ἀνθέλκεται] ἀνθήκεται πρὸς ἑαυτὸν V 6 sq. καὶ μεθέλκεται] om. O 7 1. καὶ JVRζ, om. Kη καινή τις] καινίτης CP ἔρις] δ' ἔρις A 2. καὶ] om. F[1] ἀγών] αὐτῶν P τις] τις ἂν ι 9 ἥδε] ἥδ' ἐν V 10 Σώστρατος νικᾷ] νικᾷ σώστρατος ϑ 11 περὶ] παρὰ Gaulm. 12 τοῦτον] τούτω N, τοῦτο O φιλοτιμότατα JT, φιλοτιμώτατα rell. ὅσα] ὡς ζϑ 13 sq. ἃ πάντα] ἅπαντα PV 14 ἥπτετό] ὕπτετό V ψυχῆς] ψυχήν P 15 ὅλον] ὅλος TV ἀπετίθετο] ἀποτίθετο V 16 καὶ] om. ϑ παρθένος] spatium 2 litt. V ῥοδόπη] δόπη V[1], ῥοδώπη R 18 γε] om. Vι ἐκείνην] post ὑσμίνην ζϑ Ὑσμίνην] ἰσμήνης R 19 μιμώ] τιμῶ ζϑ, μιμώ, ὡς πρὸς ἐλέφαντα κώνωψ, ὡς (ὡς πρὸς N[1]) ἀστὴρ πρὸς φωσφόρον τοῦτον τὸν γίγαντα ι τρυφαὶ] τροφαὶ VRι 20 ὅσαις] ὅσοις J καὶ] om. N φιλοφρονεῖσθαι] φιλοτιμεῖσθαι V.

4 Ἐπὶ δὴ τούτοις πᾶσιν ὀφθαλμὸς ἥλατό μευ ὁ δεξιός,
καὶ ἦν μοι τὸ σημεῖον ἀγαθὸν καὶ τὸ προμάντευμα
δεξιώτατον. Εἰ μὲν οὖν ὁ τῆς Ἀρτυκώμιδος οἶνος ἡδὺς
κατὰ τὸν ἐξ Αὐλικώμιδος, οὐκ οἶδα νὴ τοὺς θεούς·
2 Σώστρατος δ' οὐκ ἔσχε κατὰ Σωσθένην Ὑσμίνην οἰνο-
χοεύουσαν, ὅθεν ἡττᾶται Σωσθένους, καί μου τὸ κηρύ-
κειον τοῦ δεσπότου τοσοῦτον φιλοτιμότερον, ὅσον καὶ 252
3 δυστυχέστερον. Μετὰ γοῦν τὰς ἐν τῇ τραπέζῃ τρυφὰς
καὶ τὸ τοῦ συμποσίου πολυτελὲς καὶ λίαν φιλότιμον
Ῥοδόπη κιρνᾷ κρατῆρα τῆς ἑορτῆς. Ὁ μὲν οὖν δὴ κῆρυξ
καὶ τῇ τύχῃ δεσπότης ἐμὸς ἐφ' οὕτω πολυτελοῦς τραπέζης
ἀνακεκλιμένος λαμπρῶς ἔπινεν, ὡς οἶμαι, μεθ' ἡδονῆς,
ἐγὼ δ' ὁ ποτὲ κῆρυξ, ὁ λαμπρᾶς ἐπανακεκλιμένος τρα-
πέζης, ὁ τῷ Σωσθένει φιλοτίμως φιλοφρονηθείς, ὁ τὴν
Ὑσμίνην ἔχων οἰνοχοεύουσαν, ἣν καὶ μόνον ἰδεῖν εὐτυχές,
4 ἔργα τὰ δούλων ὑπέχω καὶ ὅλος δοῦλός εἰμι· καὶ εἰ
μὴ κατελύετο τὸ συμπόσιον, τάχ' ἂν ὅλος ἐρράγην αὐτός.

1 ἐπὶ δὴ JKϑ, ἐπειδὴ V, ἐπὶ δὲ rell. ὀφθαλμὸς] ὀφθαλμὸς μὲν R ἥλατό η, ἥλλατό Jζ, ἥλλετό K, ἥλετό V, εἵλετο R ὀφθαλμὸς ἥλατό] ἥλατο ὀφθαλμός? Hercherus μευ] μου Vδ (praeter ι), om. R 2 1. τὸ] om. P 2. τὸ] om. R 3 Ἀρτυκώμιδος] ἀρτέμιδος Bμ 4 κατὰ] μετὰ κατὰ P[1] ἐξ] τῆς Xζϑ οὐκ οἶδα] om. K 5 κατὰ Σωσθένην] κατὰ σωσθένης P[1], om. V Ὑσμίνην] ἰσμήνην κατὰ τὴν ἐμὴν ἐκείνην V 6 ἡττᾶται] ἡττάσθαι (sic) R μου] μοι ϑ 7 τοσοῦτον] τοσούτω ϑ, om. V ὅσον] ὅσω Vϑ καὶ] om. V 8 γοῦν] γοῦν δὴ ι τῇ] om. ι 9 τοῦ] σου P λίαν φιλότιμον] φιλότιμον N, φιλότιμον λίαν Bμ 10 Ῥοδόπη] ῥοδώπη R, ῥοπη N[1] ὁ] incipit liber nonus in λ ὁ μὲν οὖν δὴ] om. V δὴ] om. R 11 τῇ] om. V ἐμὸς] ἐν μέσοις K πολυτελοῦς] λαμπρᾶς ι 11 sq. τραπέζης ἀνακεκλιμένος] ἀνακεκλιμένος τραπέζης ϑ, τραπέζης ἀνακεκλιμένον B 12 ἔπινεν] ἔπιεν Gaulm. ὡς] om. ι 13 sq. λαμπρᾶς ἐπανακεκλιμένος τραπέζης] λαμπραῖς ἀνακεκλιμένος τραπέζαις V 14 Σωσθένει] σωσθένη μ φιλοφρονηθείς] φιλοφρονούμενος Nϑ 15 μόνον] μόνην P[1]ϑ 16 δούλων] τῶν δούλων Vι ὑπέχω] ἐπέχω N[2]R, ἐπέχων N[1] ὅλος] ὅλως ϑ 17 ὅλος] om. V, ὅλος αὐτο (sic) K, ὅλος (ὅλως Le Basius) ὑπ' ἄλγους Gaulminus (D) ἐρράγην] κατερράγην ϑ.

Ἀλλ' ὁ κήρυξ ἀναστὰς τῆς τραπέζης ἐπὶ τὸ δωμάτιον
γέγονε, καὶ περὶ κλίνην λαμπρὰν μαλακῶς ἀνακέκλιται,
οἵαν κἀμοί ποτε Σωσθένης ὑπέστρωσεν.
5 Ἡ τοῦ Σωστράτου θυγάτηρ κατὰ τὴν ἐμὴν Ὑσμί-
νην ἧκε τοὺς πόδας ἐκπλῦναι τοῦ κήρυκος, καὶ τρεῖς
παιδίσκαι παρείποντο καθυπηρετοῦσαι τῷ λειτουργήματι.
2 Ἔνιπτε μὲν οὖν ἡ Ῥοδόπη, ἐγὼ δὲ τὰ περὶ τοὺς ἐμοὺς
ἀναλογισάμενος πόδας ἔκ τε χειρῶν καὶ χειλέων τῆς
ἐμῆς ἐκείνης Ὑσμίνης χαριεντίσματα πνεῦμά τι μέγα καὶ
λίαν ὀδυνηρὸν ἐξ ἐμῶν μέσων ἐγκάτων ἀνέσπασα καὶ
3 δακρύων ἐπληρώθην τοὺς ὀφθαλμούς· καὶ θεραπαινὶς ἡ
τῶν ποδῶν τὸ μάκτρον ἀνέχουσα πρὸ χειρῶν μικρὸν
ὑπεστέναξεν, ὥσπερ μιμουμένη τὸ τῆς ἠχοῦς ὑστερόφωνον,
καὶ οἷον Ὑσμίνη λεπτὸν ὑπεστέναξεν, ὅτε τῷ ποδί μου
τὸν πόδα ταύτης ἐπὶ τῆς τοῦ Σωσθένους τραπέζης ἐπέ-
θλιψα. Εἶδον οὖν ἀτενῶς εἰς αὐτὴν καὶ νὴ τὴν Ὑσμίνην
τὴν Ὑσμίνην ἐδόκουν ὁρᾶν· ἡ δ' ἀντέβλεπεν ἀτενέ-
στερον.
6 Ἐπεὶ δ' ἡ τοῦ Σωστράτου θυγάτηρ ἀπονιψαμένη
τοὺς πόδας τοῦ κήρυκος ᾤχετο, καὶ αἱ θεραπαινίδες
παρείποντο, συνῴχετο ταύτῃ καὶ ἣν ὡς Ὑσμίνην ἑώρων 253
2 αὐτός. Ἐγὼ δ' ὅλην τὴν νύκτα κατετυραννούμην τοῖς

1 ἀλλ' — 150, 12 καί με κατα-] perierunt in C 2 περὶ κλίνην λαμπρὰν VR, περὶ κλίνη (κλίνην N[1]) λαμπρᾷ ι, παρὰ κλίνῃ λαμπρᾷ rell. ἀνακέκλιται] ἀνεκλίνετο V 3 οἵαν] οἷα Bμ κἀμοί] κἀμέ ι 4 τοῦ] κατὰ τῆς V 6 παρείποντο] παρέποντο V καθυπηρετοῦσαι] καθυπουργῆσαι ι 7 Ῥοδόπη] ῥοδώπη R δὲ] om. ι περὶ] παρὰ Gaulm. ἐμοὺς] ἐμοὺς ὀφθαλμοὺς O 8 ἀναλογισάμενος] ἀναλογιζόμενος Pθ χειρῶν] ποδῶν ι καὶ χειλέων] om. F[1] 9 τι] τε ι 10 ὀδυνηρὸν] om. K ἐμῶν] ἡμῶν V μέσων] μέσον Bμ 11 καὶ] καὶ ἡ V 12 ἀνέχουσα] ἔχουσα V, ἐνέχουσα Gaulm. μικρὸν] μικρὰν O 14 ὑπεστέναξεν] ὑπεστέναζεν R ὅτε] ὅταν V, ὥσπερ ὅτε O[1] μου] om. V 15 sq. ἐπέθλιψα] ἀπέθλιψα R, ὑπέθλιψα θ, ὑπέθλιψεν V 16 εἰς] om. ι Ὑσμίνην] ἀφροδίτην ζθ 17 τὴν Ὑσμίνην] om. O 21 παρείποντο] παρέποντο V ἣν] ἦν Le Basius ὡς] om. ι.

λογισμοῖς "ἆρ' ἦν Ὑσμίνη;" λέγων πρὸς ἑαυτόν· ἀλλ'
ἐκ χειρῶν ἀπεσπάσθη τούτων ἐμῶν, καὶ χερσὶ κυβερνήτου
δημίου πρὸ τούτων ἐμῶν ἐλεεινῶν ὀφθαλμῶν ἐξεσφενδονήθη
3 τοῖς κύμασιν. Ἀλλὰ Ζεύς, ἀλλ' Ἔρως τὴν κόρην ἐρρύ-
σατο, καὶ πάντως ἔχει ταύτην Αὐλίκωμις· οὐδὲ γὰρ
4 ἐπὶ κακῷ καὶ δουλείᾳ ταύτην ἐσώσαντο." Καὶ ὅλην
αὐτὴν ἀνεπλαττόμην τῷ νῷ καὶ λογισμοῖς ποικίλοις ὅλην
τὴν νύκτα παραμετρούμενος τῆς στρωμνῆς ἀνέστην, μηδὲ
μέχρι βλεφάρων τοῖς ὕπνοις σπεισάμενος.

7 Ἡμέρα γοῦν καὶ τοῖς κατὰ νύκτα κακοῖς μεῖζόν μοι
προσεπιτίθεται τὸ κακόν, καὶ κατὰ διαδοχάς μοι τὸ
δυστυχές. Πάλιν Ὑσμινίας ἐγὼ τὰ δούλων ὑπέχω καὶ
πάλιν δουλεύω καὶ ὅλος δοῦλος καὶ τρίδουλος· δοῦλος
Ὑσμίνης ἐξ Ἔρωτος, δοῦλος λογισμῶν ἐκ τῶν ὀφθαλμῶν
2 καὶ δοῦλος ἐκ τύχης τοῦ κήρυκος. Τράπεζα καὶ πάλιν
πολυτελής, καὶ πάλιν ὁ κήρυξ τῷ Σωστράτῳ συνανα-
κλίνεται· καὶ πάλιν Ῥοδόπη κιρνᾷ, καὶ πάλιν κατ' ἐμῆς
ψυχῆς ἡ μνήμη στρατεύεται καὶ ταύτην ὅλην πολιορκεῖ,
πρὸς τὴν Αὐλίκωμιν ἄγει, πρὸς τὴν Ὑσμίνην μεθέλκεται
καὶ ὅλον ἀναπλάττει μοι τὸ κηρύκειον.

1 ἑαυτόν] ἐμαυτόν (corr. ex ἐμαυτῶν F) Pϑ ἀλλ'] ἄρ' (ἆρ' X) ι 2 ἀπεσπάσθη] ἀπεσπάσθην R, ἀπεσπάθη O, ἀπέσπασται J 3 πρὸ] πρὸς MVι ἐλεεινῶν] om. ι ἐξεσφενδονήθη] ἐξεσφενδονήθην R, ἐξεσφενδονίσθη Pϑ 4 τὴν κόρην] τῇ κόρῃ ι, ταύτην R 4 sq. ἐρρύσατο] ἐρρύσαντο J[2]K, ἐρύσαντο λ 5 πάντως] παντελῶς JPϑ ἔχει ταύτην Αὐλίκωμις] ταύτην αὐλίκωμις ἔχει ζϑ Αὐλίκωμις] εὐρύκωμις (—ι—NO) ι οὐδὲ] οὐ Jι 6 δουλείᾳ ταύτην] ταύτην δουλείαν V ἐσώσαντο] ἐρρύσατο V, ἐσώσαντο· ταῦτα καθ' ἑαυτὸν (κατ' ἐμαυτὸν Hercherus) ἔλεγον ι 7 καὶ λογισμοῖς] om. ι 8 τῆς] λογισμοῖς τῆς ι 9 ὕπνοις] νυκ (exp.) ὕπνοις P σπεισάμενος] σπασάμενος μ 10 νύκτα] τὴν νύκτα ι 11 προσεπιτίθεται] προεπιτίθεται P διαδοχάς] διαδοχήν ζϑ 12 τὰ] τὰ τῶν ι ὑπέχω] ἐπέχω ι 13 πάλιν] ὅλως V ὅλος] ὅλως APTV 15 ἐκ] om. R 2. καὶ] om. ι 16 ὁ] ὁ πηρ ὁ P[1] 16 sq. συνανακλίνεται] συνανακέκλιται ζϑ 17 Ῥοδόπη] ῥοδώπη R 18 ἡ μνήμη] ἰσμήνη BJVR, ὑσμήνη μ, ὑσμίνη F[2]N 19 1. πρὸς] καὶ πρὸς Jζϑ ἄγει] ἄγει καὶ Hercherus.

8 Ἐν μέσοις τούτοις ἡ παιδίσκη καὶ πάλιν ὑπηρετεῖ
τῇ δεσπότιδι, καὶ πάλιν ἐγὼ τὴν παιδίσκην ὁρῶ, καὶ πάλιν
τὴν Ὑσμίνην βλέπειν δοκῶ· ἡ δ' ἀτενέστερον ἀντιβλέπει
2 με καὶ τοὺς ὀφθαλμοὺς πληροῦται δακρύων. Ἐγὼ δ'
ὑπεκστὰς τῆς τραπέζης δάφνῃ παρακαθίζω συνηρεφεῖ
(ἐγγὺς γὰρ παραδείσου τὰ τῆς τραπέζης ὁ Σώστρατος
ἡτοιμάσατο) καὶ δακρύων τοὺς ὀφθαλμοὺς πληρωθεὶς καὶ 254
βύθιον στενάξας ἐλεεινὸν "φεῖσαί μου, Ζεῦ" εἶπον· "στῆσόν
μου τὴν μακρὰν πλάνην, τὸν βαρύν μοι κλύδωνα κατα-
3 πράυνον. Ἰδού με καὶ πάλιν καταπαίζουσι δαίμονες· πλάτ-
τουσι τὴν Ὑσμίνην, κοσμοῦσιν ἐρωτικῶς, ἱστῶσί μου
κατὰ μέτωπον καί με κατατυραννοῦσι καὶ τοῖς ὀφθαλμοῖς
4 καὶ τοῖς λογισμοῖς." Ταῦτ' ἔλεγον καί τις ἐπιστᾶσά μοι
παιδίσκη φησὶν "ἐξ Ὑσμίνης παρθένου σῆς ἐρωμένης καὶ νῦν
ἐμῆς ὁμοδούλου τοῦτό σοι τὸ ἐπιστόλιον," καί μου τῇ
χειρὶ παραθεῖσα δρομαῖος ᾤχετο. Τοῦτο δ' ἐγὼ λαβὼν
ἀνέπτυξα σύντρομος· τὸ δ' εἶχεν οὕτως

9 ΥΣΜΙΝΗ ΠΑΡΘΕΝΟΣ ΥΣΜΙΝΙΑι ΤΩι ΕΡΑΣΤΗι ΧΑΙΡΕΙΝ.

Ὑσμινία Θεμιστείδη, ἴσθι ὡς Ὑσμίνην τὴν σὴν δελφὶν θαλάσσης ἐρρύσατο, καὶ πηγὴ καὶ τόξον Ἀρτέμιδος, παρθένου θεᾶς, παρθένον

1 μέσοις] μέσω V, μέσοις δὴ N 1 sq. ἡ παιδίσκη καὶ πάλιν ὑπηρετεῖ (πολιορκεῖ K[1]) τῇ δεσπότιδι JKζθ, τῇ δεσπότιδι καὶ πάλιν ὑπηρετεῖ ἡ παιδίσκη VR, τῇ δεσπότιδι καὶ πάλιν ἡ παιδίσκη ὑπηρετεῖ ι, τῇ δεσπότιδι ἡ παιδίσκη καὶ πάλιν ὑπηρετεῖ Gaulm. 2 τὴν] om. V 3 ἀτενέστερον] ἂν(ν exp.)τενέστερον R, ἀντενέστερον OP 4 με] μοι ι 6 παραδείσου] παραδείσῳ Gaulm. (D) τραπέζης] τρυφῆς Pθ ὁ] om. Rι 7 δακρύων — καὶ] om. V 8 στενάξας] στενάξαι B 8 μου] om. O 9 μοι] μου V 10 με JK, μοι rell. δαίμονες] ἔρωτες ι, οἱ δαίμονες Le Basius 11 μου] μοι Le Basius 12 2. καὶ — 13 λογισμοῖς] καὶ τοῖς λογισμοῖς καὶ τοῖς ὀφθαλμοῖς ι, καὶ τοῖς ὀφθαλμοῖς V 13 sq. ἐπιστᾶσά μοι παιδίσκη] παιδίσκη ἐπιστᾶσά μοι R, ἐπιστᾶσά μου παιδίσκη K, ἐπιστᾶσα παιδίσκη Vι 14 σῆς] τῆς VRι 16 δρομαῖος R, δρομέως (δρωμέως X) Vη, δρομαίως rell. 17 ἀνέπτυξα] ἀνέπτηξα Tζ σύντρομος] συντρόμως κ, σύντομον V, συντόμως Jζθ τὸ] ὃ V 19 Θεμιστείδη] θεμιστίδι μ, θεμιστίδει ζ, θεμιστέως AF δελφὶν] δελφὶς R.

2 σοι ταύτην παρεφυλάξατο· σὺ δὲ μὴ λήθην νοσήσῃς μήτε τῶν ἐπ' Αὐλικώμιδος, τῆς ἐμῆς πατρίδος, πολλῶν χαρίτων ἐρωτικῶν, μήτε τῶν ἐπ' Εὐρυκώμιδος, πατρίδος τῆς σῆς, μηδ' ὅτι διὰ σὲ καὶ πατρίδος καὶ τεκόντων καὶ τῶν κατ' οἶκον λαμπρῶν πάντων καταφρονήσασα
3 θαλάσσης καὶ κυμάτων κατετόλμησα, διὰ σὲ θανάτου γευσαμένη πικροῦ καὶ τέλος αἰχμάλωτος καὶ δούλη νῦν, ὡς ὁρᾷς, καὶ ἐπὶ πᾶσι τὴν παρθενίαν ἀπαρεγχείρητος· καὶ νῦν ὁμόδουλος ἐπὶ Δαφνήπολιν συνεκπλεύσω σοι. Ἔρρωσο, καὶ τὰς συνθήκας ἀπαρεγχειρήτους τηρῶν σωφρόνως ἀντιπαρθένευε.

10 Οὕτω τοίνυν εἶχε τὸ ἐπιστόλιον, οὗ πιστεύειν τοῖς γράμμασιν οὐ συνεχωρούμην τοῖς πράγμασι, καὶ τοῖς πράγμασι πιστεύειν ἐθέλων οὐ συνεχωρούμην τοῖς γράμμασι· τὸ μὲν δὴ γράμμα πείθειν ἐμάχετο τὴν παιδίσκην Ὑσμίνην εἶναι καὶ τῆς Ὑσμίνης τὸ ἐπιστόλιον· ὅλον γὰρ δρᾶμα τὸ καθ' ἡμᾶς ἀνεπλάττετο· τὸ δὲ τοῦ πράγματος καινὸν καὶ ὑπέρμεγα οὐ συνεχώρει μοι πιστεύειν τῷ γράμ-
2 ματι. Δὶς οὖν καὶ τρὶς τὴν ἐπιστολὴν ἀναγνοὺς καὶ ὅλην 255

1 παρεφυλάξατο] παρεφυλάξαντο ζθ μὴ] μοι P λήθην] λήθη Kι, λήθης P νοσήσῃς] νοστήσῃς Teucherus 2 Αὐλικώμιδος] αὐλικώμιδι J 2 πολλῶν — 3 2. πατρίδος] om. O 3 ἐπ'] ἀπ' ζ Εὐρυκώμιδος] εὐρυκώμιδι J, εὐρυκώμιδα K πατρίδος τῆς σῆς] πατρίδα τὴν σὴν K μηδ'] μήθ' F καὶ] om. ι 4 τῶν — πάντων] πάντων τῶν κατ' οἶκον λαμπρῶν F^2 οἶκον] οἴκων R καταφρονήσασα VR, κατεφρόνησα rell. 6 τέλος] τέλειος Jζ αἰχμάλωτος] αἰχμάλωτον V δούλη] δούλην V νῦν, ὡς ὁρᾷς] ἐφορᾷς V 7 ἀπαρεγχείρητος] ἀπαρεγχείρητον V ὁμόδουλος V, ὁμοιόδουλος rell. ἐπὶ] σοι ἐπὶ ι 7 sq. συνεκπλεύσω σοι] συνεκπλεύσωσι R 8 ἀπαρεγχειρήτους τηρῶν] τηρῶν ἀπαρεγχειρίτους R, τηρῶν ι 8 sq. σωφρόνως] σοι σωφρόνως A 10 τοίνυν R, μὲν οὖν β οὗ] οὐ R πιστεύειν] πιστεύων Le Basius 11 γράμμασιν] πράγμασιν V πράγμασι] γράμμασιν V 11 καὶ — 12 sq. γράμμασι] om. Rι 11 sq. καὶ τοῖς πράγμασι] om. F^1 τοῖς πράγμασι πιστεύειν ἐθέλων] θέλων πιστεύειν τοῖς γράμμασιν V 12 sq. γράμμασι] πράγμασι (— ν V) CPV 13 τὸ μὲν δὴ R, καὶ τὸ μὲν V, τὸ μὲν γὰρ δὴ rell. ἐμάχετο] ἀπεμάχετο V τὴν] τὸν Gaulm. παιδίσκην] om. ι 15 ἀνεπλάττετο] ἀναπλάττετο R τοῦ] om. ζ 16 καὶ] om. ζ 16 sq. τῷ γράμματι] τοῖς γράμμασι ι 17 τὴν ἐπιστολὴν ἀναγνοὺς] ἀναγνοὺς τὴν ἐπιστολὴν ι.

καταφιλήσας αὐτὴν ἐξανέστην τῆς δάφνης, καὶ περὶ τὴν τράπεζαν γεγονὼς τὴν ὡς Ὑσμίνην παιδίσκην ἀτενέστερον ἔβλεπον καὶ ὅλην περιειργαζόμην αὐτήν· ἡ δ' ἀντιβλέπουσα τοὺς ὀφθαλμοὺς ἐπληροῦτο δακρύων.

11 Καὶ οὕτω κατελύετο τὸ συμπόσιον. Καὶ κῆρυξ
δεσπότης ἐμὸς σὺν δούλοις ἡμῖν ἐπὶ τὸ δωμάτιον γέγονεν,
Ὑσμίνη δ' ὡς δούλη τῇ Ῥοδόπῃ συνείπετο· καὶ οὕτως
2 ἀπ' ἀλλήλων ᾠχόμεθα. Καὶ πάλιν πυκνοὶ λογισμοὶ τὴν
ψυχήν μου κατεμερίζοντο, καὶ πάλιν ἀναπτύξας τὸ
γράμμα κατὰ Λάκαιναν κύνα καὶ νοῦν καὶ λέξιν ἀνώρυτ-
3 τον καὶ ὅλον κατιχνηλάτουν τὸ ἐπιστόλιον. Ὁ μὲν οὖν
δὴ κῆρυξ καὶ δεσπότης ἐμὸς ἀνακεκλιμένος κλίνῃ λαμπρᾷ
καὶ μαλακῶς ἐσταλμένῃ καὶ ὅλος ὢν κατὰ κήρυκα καὶ
μέχρι κλίνης αὐτῆς τοῖς ὕπνοις ἐσπείσατο· ἐγὼ δὲ σὺν
ὁμοδούλοις κατὰ δοῦλον ἀνακλιθεὶς κατὰ γῆν, τοῖς λογι-
σμοῖς οὐ συνεχωρούμην ὑπνοῦν, καὶ ἦν μοι τὰ τῆς νυκτὸς
ἡμέρα πρὸς ὕπνον καὶ γρήγορσιν.

12 Τῇ δ' ὑστεραίᾳ ὅλον ὁ κῆρυξ περιθέμενος τὸ κηρύκειον καὶ ὅλος κῆρυξ γενόμενος ἐπὶ τὸ ἱερὸν ἐγένετο τῆς Ἀρτέμιδος· ἐγὼ δὲ περὶ τὸ δωμάτιον καταλέλειμμαι, καὶ τῇ πύλῃ παρακαθίσας καὶ τὴν ἐπιστολὴν ἀναπτύξας ὅλους

1 περὶ] παρὰ Gaulm. 2 ὡς Ὑσμίνην παιδίσκην] παιδίσκην ὡς ἰσμήνην V ὡς] om. Rι 3 περιειργαζόμην] περιηργαζόμην ι 6 δεσπότης] ὁ δεσπότης ι δούλοις] ὁμοδούλοις V ἐπὶ] περὶ V 7 δ' ὡς] δὲ P Ῥοδόπῃ] ῥοδώπη R, δεσπότιδι (δεσποτία O) ι οὕτως] οὕτω πάλιν ζθ 8 ἀπ' — πάλιν] om. T πάλιν] πάλιν μου (exp.) πάλιν N 9 ψυχὴν] καρδίαν ζθ κατεμερίζοντο] διεμερίζοντο R 10 Λάκαιναν] λάκαινα R κύνα] κύναν ι νοῦν] οὖν P 12 δὴ] om. ι 13 2. καὶ] om. ζθ ὅλος] ὅλως VRθ ὢν κατὰ κήρυκα scripsi, κατὰ κήρυκα ὢν α 14 αὐτῆς] αὐτοῖς AF 15 δοῦλον VR, δούλους rell. γῆν] γῆς R τοῖς] ὑπὸ τοῖς ζθ 16 ὑπνοῦν] ὑπονοῦν P νυκτὸς] νυκτὸς ὡς ζθ 17 ἡμέρα] sequitur καὶ ν in litura N καὶ] om. V γρήγορσιν] γρήγορσις ι, ἐγρήγορσις V 18 ὅλον] ὅλος X 20 περὶ] παρὰ ζ 21 παρακαθίσας] παρακαθήσας R ὅλους] ὅλοις Vζθ, ὅλως Le Basius.

τοῖς γράμμασι κατεπεπήγειν τοὺς ὀφθαλμοὺς καὶ ὅλον
2 τὸ γράμμα τοῖς δάκρυσιν ἔπλυνον· ἡ δὲ τοῦ Σωστράτου
Ῥοδόπη περὶ τὸν κῆπον γενομένη (πρὸ γὰρ τῆς πύλης
ἦν, ᾗ παρεκαθήμην αὐτὸς) καί με βρεχόμενον ἰδοῦσα τοῖς
δάκρυσι καὶ οἷον κατελεήσασα "τί πάσχεις, τέκνον;"
φησίν. Ἐγὼ δ' "οὐδὲν ἄλλο, δέσποινα" πρὸς αὐτήν,"
ἀλλ' ἢ δοῦλος ἐξ ἐλευθέρων εἰμί, καὶ δούλιον ἦμαρ
3 βλέπων πάσχω κακῶς." Ἡ δέ μοι καὶ γένος ἐζήτει μα- 256
θεῖν καὶ πατρίδα καὶ ὅπως δοῦλος ἐξ ἐλευθέρων γεγέ-
νημαι. Κἀγὼ πρὸς αὐτὴν "ἀλλὰ προτρέχει μου τοῦ λόγου
τὸ δάκρυον, δέσποινα, καὶ κατεπικλύζει μου τὴν γλῶσσαν
καὶ κατακλυδωνίζει μου τὴν ψυχὴν καὶ ὅλην ἐπέχει μου
4 τὴν φωνήν. Εἰ γὰρ τὴν ἐν κακῷ τύχην ἐθέλεις ἰδεῖν,
ὅλος ἐν σώματί σοι παρίσταμαι, ὅλον ἐνδεδυμένος τὸ
δυστυχές, καὶ πρὸς ὅλην ἀπευκταίαν τύχην μεταπλα-
σθεὶς καὶ στήλη δυστυχίας γενόμενος."

13 Ἡ δέ γε Ῥοδόπη μᾶλλον ἐζήτει τὰ κατ' ἐμὲ καὶ οἷον κατεδυσώπει ταῦτα μαθεῖν. Κἀγὼ πρὸς αὐτὴν "Εὐρύκωμίς μοι πατρίς, πατὴρ Θεμιστεὺς καὶ μήτηρ Διάντεια, τἆλλα μὲν εὐτυχεῖς, πλὴν ἐμοῦ τούτου παι-

1 κατεπεπήγειν] κατεπήγειν ι 2 τὸ] τὰ P ἔπλυνον] ἔβρεχον ι Σωστράτου] σωστράτου θυγάτηρ ε 3 Ῥοδόπη] ῥοδώπη R πύλης] κλίνης T 4 ἦν, ᾗ] om. AF[1] με] om. F[1] βρεχόμενον] βρυχόμενον AFJ 5 δάκρυσι] δακρύοις B καὶ οἷον κατελεήσασα] om. ι κατελεήσασα] κατελεοῦσα θ πάσχεις] πάσχει P 7 ἀλλ'] om. Gaulm. ἢ] εἰ CP[1], ὅτι ι εἰμί] γεγένημαι ι δούλιον KP, δούλειον rell. 8 μοι] μου? Hercherus 9 ὅπως] εἰ V ἐξ ἐλευθέρων] ἀντ' ἐλευθέρου ι 10 μου] μοι V, μοι τῆς φωνῆς ὀδυρμὸς καὶ προπηδᾷ ι 11 κατεπικλύζει] ἐπικλύζει R 12 ὅλην] ὅλην αὐτὴν ι 12 sq. μου τὴν φωνήν] καὶ (μου τὴν φωνὴν καὶ F[2]) θέλει μὲν ἡ γλῶσσα λαλῆσαι καὶ τὸ συμβὰν διηγήσασθαι (διηγῆσθαι O), ἐπέχεται δὲ (om. O) ὑπὸ τῆς πικρίας, τῷ γὰρ τοῦ πάθους τυραννεῖται δεσμῷ ι, τὴν φωνήν R, μου τὴν ψυχήν K 14 ὅλος] ὅλως R, ὅσος V παρίσταμαι] παρίσταται R ὅλον ἐνδεδυμένος] om. ι 15 καὶ] om. R 17 γε] om. ι Ῥοδόπη] ῥοδώπη R, ῥοδείπη P 18 ταῦτα μαθεῖν] μᾶλλον μαθεῖν ταῦτα V 20 τούτου] τούτων ι.

δός, ὃν Ἔρως καὶ Τύχη καὶ Ποσειδῶν ἐξ εὐτυχοῦντος
δυστυχῆ, δοῦλον ἐξ ἐλευθέρου καὶ τρίδουλον ἐκ κήρυκος
2 φέρουσι. Διασίων καιρὸς καὶ κῆρυξ ἐγώ, καὶ κῆρυξ οὐκ ἐς
τυχοῦσαν, ἀλλ' ἐς Αὐλίκωμιν. Ὅπως μὲν οὖν με κατέπαιζε
τὸ δαιμόνιον, λαμπράς μοι προπομπὰς ὑφαῖνον καὶ
3 θριάμβους πολυτελεῖς, περιττὸν ἂν εἴη καὶ λέγειν. Κῆρυξ
ἐς Αὐλίκωμιν ἥκω, καὶ τῷ Σωσθένει φιλοφρονοῦμαι,
ἀνδρὶ τὰ πρῶτα τῶν ἐπ' Αὐλικώμιδος φέροντι. Τῷ δ' ἦν
παρθένος θυγατηρ, μαίευμα Χαρίτων, Ἀφροδίτης κεστός,
4 δέλεαρ ἐρωτικὸν καὶ παγὶς Ἔρωτος ἄφυκτος. Ταύτῃ δὴ
ταύτῃ τῇ θυγατρὶ τοῦ Σωσθένους ὅλῃ συνανεκράθην
ἐρωτικῶς, κἂν οὐδέν τι τῆς παρθενίας ἐλυμηνάμεθα. Γά-
μον ἕτερον ὁ πατὴρ κηρύσσει τῆς θυγατρός, ὃν μηδὲ
μέχρις αὐτῆς ἀκοῆς ἡμεῖς ἀνεχόμενοι φεύγομεν τὸν γάμον
5 καὶ τὸν γάμον ὠνούμεθα. Ναῦς ὑπηρετεῖ τῇ φυγῇ, καὶ 257
Ποσειδῶν ἐν κλύδωνι καὶ χεὶρ ἡ κυβερνήτου τὴν καλὴν
ἐκείνην παρθένον ἀθλίων τούτων ἀφαρπάζει χειρῶν."

14 Ταῦτ' εἶπον καὶ ὅλος ὀλιγωθεὶς τὴν ψυχὴν καὶ ὅλος
ἄφωνος γεγονὼς κατὰ γῆν ἐλεεινῶς ἐπεπτώκειν· αἱ δὲ

2 ἐκ] ἀντὶ η 3 φέρουσι] φέρουσαι O, φαίνουσι vel ἀποφαίνουσι? Hercherus 4 τυχοῦσαν] στυχοῦσαν R, τὴν τυχοῦσαν BV ὅπως] ὅσα ι με] μοι JKVR, om. ι 5 μοι] om. V καὶ] om. N[1]V 7 ἥκω] ἧκον ζθ φιλοφρονοῦμαι] φιλοτιμοῦμαι J 8 Αὐλικώμιδος Hercherus, αὐλικώμιδι α 9 μαίευμα] καὶ ευμα (sic) P κεστός] καιστός ζ 10 Ἔρωτος ἄφυκτος] ἄφυκτος ἔρωτος ι δὴ] δὲ Vι, γε R 11 ταύτῃ] om. ι τοῦ] om. V ὅλῃ] ὅλην N, ὅλος V συνανεκράθην] συνεκράθην ι, συνηράσθην V 12 κἂν] καὶ O οὐδέν] μηδέν V τι] τοι O ἐλυμηνάμεθα] ἐλυμηνάμην θ 12 sq. γάμον] ἐν μέσῃ τραπέζῃ γάμον ι 13 ὁ] καὶ J, om. R ὃν] οὗ ι, ὃν δὴ θ 14 μέχρις αὐτῆς] μέσης ι (om. N) ἡμεῖς] om. K ἀνεχόμενοι] ἀνεχώμεθα O τὸν γάμον] om. Gaulm. 15 τὸν] om. V ὠνούμεθα] ἀπωθούμεθα? Hercherus 16 χεὶρ ἡ R, χειρὶ JK, χεὶρ Vε κυβερνήτου] κυβερνήτης J, κακοῦ κυβερνήτου ζθ 17 παρθένον] ἰσμήνην V ἀφαρπάζει] ἁρπάζει θ 19 ἐλεεινῶς] ἐλεεινὸς θ.

περὶ τὴν Ῥοδόπην περιχυθεῖσαί με καὶ ὅλον συσχοῦσαί
με καὶ περὶ τὸ δωμάτιον ἀγαγοῦσαί με περὶ τὴν τοῦ
2 δεσπότου κλίνην τοῦ κήρυκος ἀνακλίνουσι· καὶ ἡ Ῥοδόπη
τῇ κλίνῃ παρακαθίσασα ἥπτετό μου χειρῶν, ἀπεμάσσετο
τοὺς ἱδρῶτας, ἐδάκρυεν, ὅλον ἐκοινοῦτό μοι τὸ δυστύ-
χημα, τὴν ψυχὴν ἀνεκτᾶτό μου τὰς ῥῖνας μυρίζουσα,
ὑγράν μοι χεῖρα κατεπετίθει τῷ στέρνῳ καί μοι τὸ
3 περικάρδιον ἔψυχε. Καὶ τέλος τὰς θεραπαινίδας κατα-
σκορπίσασα πλὴν τῆς ὡς παιδίσκης Ὑσμίνης, καὶ ὅλον
συναγαγοῦσά με κατεφίλησε καὶ φιλήσασα δακρύων ἐπλη-
ρώθη τοὺς ὀφθαλμοὺς καὶ στενάζουσα βύθιον "ὦ Τύχη"
φησὶ "μεταπλάττουσα τὰν βίῳ καὶ φύσεις ἀλλάττουσα·
4 ὦ παῖ Διός, τύραννε Ἔρως, ψυχὰς κατατυραννῶν, τὸ
ἐλευθέριον ἀφαιρούμενος καὶ τὴν δουλείαν ἀντιδιδούς,"
καί μου τὴν κλῆσιν ἐζήτει μαθεῖν· ἐγὼ δ' ἀλλ' "ὦ
5 δέσποινα, καὶ ταύτην τὸ δαιμόνιον προσαφήρηται· οὐδὲ
γὰρ οὐδ' αὐτῆς ἐφείσατό μοι τῆς κλήσεως, ἀλλ' ὡς ἐξ
ἐλευθέρου δοῦλον εἰργάσατο καὶ τὸ πικρὸν τῆς δουλείας
τοῦ τῆς ἐλευθερίας ἀντέδωκε μέλιτος καὶ σκότος φωτὸς

1 περὶ] παρὰ Gaulm. Ῥοδόπην] ῥοδώπην R περιχυθεῖσαί] χυθεῖσαί R με] μοι ε 1 sq. συσχοῦσαί με F^2JKR, συσχοῦμαι ι, συνέχουσαί με Vζθ, συχνοῦσαί με Gaulm. (D) 2 καὶ] om. V 1. περὶ] παρὰ Gaulm. ἀγαγοῦσαί] ἀνάγουσαί P^1, ἄγουσι V με] om. Vη 2. περὶ] παρὰ θ δεσπότου] δεσπότου μου (δ. μοι F) Jζθ 3 ἡ] om. ι Ῥοδόπη] ῥοδώπη R 4 παρακαθίσασα] ἐπικαθήσασα CP^1 μου] μου τῶν η 6 ἀνεκτᾶτό] ἀνεπτᾶτό ζ 7 1. μοι] μου P^2T χεῖρα] χεῖραν (ν exp.) V κατεπετίθει] κατεπιτίθει JV, κατεπιθεῖσα ι τῷ στέρνῳ] τῶν στέρνων ATζ 8 sq. κατασκορπίσασα] διασκορπίσασα ι, κατασκοπίσασα R 9 τῆς] τὴν P 10 κατεφίλησε] om. P^2T φιλήσασα] καταφιλήσασα T, om. V 10 sq. ἐπληρώθη] ἐπλήσθη J 11 στενάζουσα] στενάξασα Rι 12 μεταπλάττουσα] μεταλλάττουσα ζθ τὰν] τὰ ἐν CP 13 ὦ — 14 ἀντιδιδούς] om. V 13 τύραννε] τυράννου J ψυχὰς] ὦ ψυχὰς ι κατατυραννῶν] κατακεραυνῶν ι τὸ] καὶ τὸ J 14 ἐλευθέριον] ἐλεύθερον Hercherus ἀφαιρούμενος] ἀφαιρούμενον K δουλείαν] δούλην K 17 μοι τῆς] μου τῆς AJ^1Tζ, om. ι 17 ἀλλ' — 156, 2 ἀντεπιτέθεικεν] om. V 18 ἐλευθέρου] ἐλευθέρων θ 19 τοῦ] τοῦτο ι ἀντέδωκε Rι, ἀντιδέδωκε rell.

ἀντεισήγαγεν, οὕτω καὶ κλήσεως Ἑλληνικῆς βαρβαρικήν μοι κλῆσιν ἀντεπιτέθεικεν, Ἀρτάκην ἀνθ' Ὑσμινίου μετακαλέσαν με· καὶ νῦν ὅλος δοῦλός εἰμι καὶ κλήσει καὶ πράγματι."

15 Ταῦτ' εἶπον καὶ τὴν ὡς παιδίσκην Ὑσμίνην ὁρῶ ὅλην καταθρηνοῦσαν καὶ ὅλην καταδακρύουσαν. Καὶ ἡ Ῥοδόπη "τί πάσχεις, παιδίσκη;" φησίν. Ἡ δ' "αὐτοκα- 258 σίγνητός μοι" φησὶν "ὁ νεανίσκος οὗτος, ὦ δέσποινα," καὶ περιπλακεῖσά με κατεφίλει καὶ ὅλον με συνεπλέκετο.
2 Κἀγὼ δ' ἀντεφίλουν περιπλακεὶς "Ὑσμίνη" λέγων "κασίγνητε," ἡ δ' "αὐτοκασίγνητε," καὶ πάλιν ἐφίλει με. Μόλις οὖν ἀλλήλων ἡμεῖς ἀπεπλάκημεν, τὸ πλάσμα πιστούμενοι· καὶ ἡ Ῥοδόπη συνανεπλάκη μοι καὶ κατεφίλησε λέγουσα "φιλῶ σε τῆς στοργῆς, καὶ τῆς φιλαδελφίας ἀσπάζομαι."

3 Παιδίσκη δέ τις περὶ τὸ δωμάτιον γενομένη φησὶ "σὸς πατήρ, δέσποινα, Σώστρατος καὶ κῆρυξ δεσπότης τοῦδε τἀνδρὸς ἐπανήκουσι τοῦ βωμοῦ." Ἡ μὲν οὖν

1 οὕτω] οὕτως ζ καὶ] om. ζθ κλήσεως] στολῆς θ (σταλῆς P[2]), στολήσεως ζ 2 ἀντεπιτέθεικεν] ἀντέθηκεν ι Ἀρτάκην scripsi, ἀρτάκιν R, ἄτρακιν (ἄτρακιν O) ι, ἀθράκην P, ἀτράκην rell. 2 sq. μετακαλέσαν θ, μετεκάλεσάν Κζ, μετεκάλεσάς R, καλέσαν JV, καλέσας ι 3 με] μοι ι κλήσει] κλῆσιν K 4 πράγματι] πράγματα K 5 Ὑσμίνην] om. θ 6 καταθρηνοῦσαν] θρηνοῦσαν V καταδακρύουσαν] δακρύουσαν ι 7 Ῥοδόπη] ῥοδώπη R παιδίσκη] om. R 8 νεανίσκος] νεανίας θ οὗτος] om. β 9 περιπλακεῖσά] περιπλακεῖσαί O 1. με] μοι ι, om. F καὶ] om. Gaulm. 10 κἀγὼ — 11 με] om. N 10 Ὑσμίνη] Ὑσμίνη Gaulm. 11 αὐτοκασίγνητε] αὐτοκασίγνητος ζθ 12 ἀλλήλων ἡμεῖς] ἀλλήλων εὐθὺς J, ἀπ' ἀλλήλων ἡμεῖς ι, ἡμεῖς ἀλλήλων ζθ ἀπεπλάκημεν] ἀπηλλάγημεν Hercherus πλάσμα] πρᾶγμα Vι 13 Ῥοδόπη] ῥοδώπη R συνανεπλάκη] συνεπλάκη BNX, συνεπλάκει OR, συναπεπλάκη J[2]ζ, συναπεπλάκει J[1] μοι] με ι 13 sq. κατεφίλησε] κατεφίλει με V 14 σε] σου R 16 δέ τις] om. P φησὶ] om. N 17 δέσποινα, Σώστρατος] σώστρατος, δέσποινα θ 18 τἀνδρὸς] ἀνδρὸς Teucherus τοῦ βωμοῦ] τῷ βωμῷ JVζθ οὖν] om. Gaulm.

Ῥοδόπη περὶ τὸν κῆπον ἐγένετο, τῆς ὡς ἐμῆς ἀδελφῆς Ὑσμίνης καὶ δούλης αὐτῆς ἑπομένης δουλοπρεπῶς. Ἐκ δὲ τῆς κλίνης ἐγὼ κατὰ γῆν καὶ κατὰ λίθους, ὡς εἰκός, κατακέκλιμαι.

16 Ἧκεν ὁ δεσπότης, ἀνέστην ἐγώ· καὶ ὁ μὲν τὰ τῶν
δεσποτῶν, ἐγὼ δὲ τὰ τῶν δούλων ὑπέχω. Τράπεζα
καὶ πάλιν πολυτελής, καὶ πάλιν ὁ κήρυξ, ὁ δεσπότης,
ἐπὶ τὴν τράπεζαν, καὶ πάλιν ὑπὸ τὸν δεσπότην ὁ δοῦλος
ἐγὼ καὶ ὅλος ὑπὸ τὸν κήρυκα. Πάλιν ἡ Ῥοδόπη κιρνᾷ,
2 πάλιν ἐγὼ τῇ δάφνῃ παρακαθίζω. Καὶ χαίρω μὲν τὴν
Ὑσμίνην ὡς Ὑσμίνην ὁρῶν, ἀλλ' ὀδυνῶμαι τὴν ψυχὴν
καὶ ὅλον πολιορκοῦμαι τὸν νοῦν καὶ λογισμοῖς ποικίλοις
καταμερίζομαι, οἷς μέσοις ἡ τοῦ Σωσθένους θυγάτηρ, ἡ
τῆς Ῥοδόπης ἐκ τύχης δούλη κἀμοῦ δεσπότις ἐξ ἔρωτος
καὶ νῦν ἐκ πλάσματος ἀδελφή, Ὑσμίνη, τὸ φῶς μοι
τῶν ὀφθαλμῶν, ἣν ἐμὸς ἔρως ἐδουλογράφησεν εἰς Ἀρτύκωμιν,
ἥκει περὶ τὴν δάφνην, ἐγγύς μου παρακαθίζει, ἀνυποστόλως
φιλεῖ, φιλοῦσα γελᾷ καὶ γελῶσά φησιν "ὡς ἀδελφόν σε
3 φιλῶ καὶ ὡς ἐραστὴν περιπλέκομαι· ἀλλ' οὐκ ἐμόν σοι
τοῦτο τὸ φίλημα· οὐχ ὡς ἐξ ἐρωμένης ἐμῆς πρὸς ἐμὸν 259

1 Ῥοδόπη] ῥοδώπη R ὡς] om. Jϑ 2 Ὑσμίνης] om. R αὐτῆς ἑπομένης] ἑπομένης J, ἑπομένης αὐτῇ AF, ἑπομένης (—νως P) αὐτῆς P²T 3 καὶ] om. J 2. κατὰ] om. Pϑ 4 κατακέκλιμαι] ἀνακέκλιμαι R 6 τῶν] om. ϑ ὑπέχω] ἐπέχω N 6 τράπεζα — 164, 11 Ὑσμινία] καὶ κῆρυξ μὲν ὁ δεσπότης ἐμός. μετὰ δὴ V; 161, 19 περὶ — 164, 11 Ὑσμινία leguntur in hoc codice post 168, 12 δοῦλος ἐξαναστὰς τοῦ δείπνου 7 πολυτελής] πολυτελεῖς R 2. ὁ] καὶ ε δεσπότης] δεσπότης ἐμός ζϑ 8 ὑπὸ — 9 πάλιν] om. M 8 ὁ δοῦλος] om. η 9 πάλιν] καὶ πάλιν ϑ ἡ] om. Tι Ῥοδόπη] ῥοδώπη R 10 πάλιν] καὶ πάλιν AF παρακαθίζω] παρακαθέζομαι ι 11 ὀδυνῶμαι] ὀδύνομαι ι 12 1. καὶ] om. : 13 καταμερίζομαι] καταμφίζομαι Gaulm. (D) 14 τῆς] αὐτῆς T 15 πλάσματος] πάσματος R¹ 16 ἐμὸς] om. R, ἐμοὶ Gaulm. Ἀρτύκωμιν] αὐλίκωμιν ζϑ 17 ἥκει] ἧκε R μου] μοι Rι παρακαθίζει] παρακαθέζει B 18 φιλεῖ] φιλεῖ καὶ ι καὶ] om. R 19 ἐμόν] ἐμοί M 20 ἐμῆς] ἐμοῦ Rϑ, ἡμεῖς M 20 sq. ἐμὸν ἐραστήν] ἐραστὴν ἐμόν R.

ἐραστήν, οὐχ ὡς ἐξ ἀδελφῆς πρὸς κασίγνητον, ἐκ δὲ
4 δούλης πρὸς δεσπότιδος ἐραστήν. Ἐρᾷ σου Ῥοδόπη, δε-
σπότις ἐμή· μαστροπὸς ἐγώ, καὶ ἀποστολιμαῖον τὸ
φίλημα· σὺ δέ μοι μὴ τύχαις ἀντιμετρήσαις τὸν ἔρωτα,
μὴ τὴν ἐλευθερίαν μεταδιώκων τῷ τῆς ἐλευθέρας Ῥοδόπης
ἔρωτι δουλωθῇς καὶ δουλωθῇς τὴν ψυχὴν φεύγων δούλωσιν
σώματος, μή μου τῆς σῆς Ὑσμίνης ἀποβουκολήσῃς τὸν
5 ἔρωτα· εἰ γάρ μου τὸ τοῦ προσώπου κάλλος ἐξαπερρύη
κατὰ ῥόδον Λοκρόν, ἀλλά μοι τὸ τῆς παρθενίας κάλλος
ἀμάραντον· κἂν δουλεύω τῷ σώματι, κατ' οὐδὲν τῆς
ψυχῆς ἐλυμηνάμην τὸ ἐλευθέριον· εἰ δὲ καὶ δούλη νῦν
διὰ σὲ καὶ πρὸ δούλης αἰχμάλωτος καὶ πρὸ τῆς τῶν
βαρβάρων χειρὸς ἐξεσφενδονήθην εἰς θάλασσαν, οὐ τῆς
ἐμῆς ἂν εἴη γλώσσης ταῦτα λαλεῖν."
17 Ταῦτά μοι περιπαθῶς Ὑσμίνη σὺν δάκρυσιν ἔλεγεν·
ἐγὼ δὲ πρὸς αὐτὴν "Ὑσμίνη" καὶ λέγων ἐφίλησα καὶ
φιλήσας ἐδάκρυσα καὶ δακρύσας "Ὑσμίνη" πάλιν φημί,
"δοῦλος ἐγὼ διὰ σέ· καὶ χαίρω κοινούμενός σοι τὸ δούλιον,

1 οὐχ TR, οὐδ' (οὐδὲ F) rell. ἀδελφῆς] ἀδελφοῦ K 1 sq. δὲ δούλης] δούλης δὲ ζθ 2 δεσπότιδος] δεσποτικὸν θ ἐραστήν] ἐραστῇ ζ 2 sq. Ῥοδόπη, δεσπότις ἐμή] δεσπότις ἐμὴ ῥοδόπη ι 2 Ῥοδόπη] ῥοδώπη R 3 μαστροπὸς] μαστρωπὸς P^{1}Rθ ἀποστολιμαῖον] ἐπιστολιμαῖον Hercherus 4 σὺ] σοὶ P μοι] om. Rθ τύχαις] τύχης Tι ἀντιμετρήσαις] ἀντιμετρήσης ι 5 — λευθερίαν — 160, 14 ὑποκρίνομαι] folium periit in T^1 5 μεταδιώκων] διώκων CJι (praeter X) τῷ] τὸ ζ ἐλευθέρας] ἐλευθερίας ζ Ῥοδόπης] ῥοδώπης R 6 δουλωθῇς J^{2}θ, καταδουλωθῇς J^1, δουλωθεὶς (—θεῖς R) rell. καὶ δουλωθῇς] om. R, καὶ δουλωθεὶς Kζι, μὴ καὶ δουλωθῇς Gaulm., μὴ δουλωθῇς Hercherus 7 τῆς — 8 μου] om. O^1 7 τῆς σῆς Ὑσμίνης] τῆς ὑσμίνης N, τῆς ἰσμήνης R, τὴν ὑσμίνην BX^2, τὴν ὑσμήνην μ (X^1) ἀποβουκολήσῃς] ἀποβουκολίσης (—ίσμης P) Jζθ 8 ἐξαπερρύη] ἐξαπερρύει ι, ἀπερρύη ζθ 9 Λοκρόν] om. X 11 ἐλευθέριον] ἐλεύθερον F δούλη] δούλην P νῦν] om. Gaulm. (D) 12 2. πρὸ] πρὸς N 13 ἐξεσφενδονήθην] ἐξεσφενδονήσθην (—ειν O) η 14 γλώσσης ταῦτα] ταῦτα γλώσσης ε 15 μοι] με ι ἔλεγεν] om. K 16 1. καὶ] om. R 17 Ὑσμίνη πάλιν] πάλιν ἰσμήνη J φημί] om. Gaulm. 18 δούλιον] δούλειον ζ.

ὅτι σοι καὶ τὸ ἐλευθέριον ἐκοινωσάμην ἐρωτικῶς· καὶ
δοῦλος σὺν Ὑσμίνῃ θανεῖν εὐξαίμην ἢ μετὰ Ῥοδόπης
2 ἐλεύθερος ἀθανατίζεσθαι. Τίς δέ σε βυθοῦ καὶ θαλάσσης
ἀνήγαγε; τίς σε περὶ ταυτηνὶ μετήγαγε τὴν Ἀρτύκωμιν;"
Ἡ δ' ἀλλ' "οὐ τοῦ νῦν ἐστι ταῦτα καιροῦ· Ὑσμίνη δ'
ἐγὼ καὶ ζῶσα, κἂν αἰχμάλωτος διὰ σὲ καὶ δούλη νῦν,
3 ὡς ὁρᾷς· ἡ δέ μοι δεσπότις, κἂν δεσπότις ἐστίν,
ἀλλ' ἔπαθεν ἐρωτικῶς καὶ δούλη σοι πρὸς ἔρωτα γέγονε
καί μοι τὰ τοῦ πάθους θαρρεῖ, δούλης Ὑσμίνης τὸν
ἀδελφὸν Ὑσμινίαν ἐρωτικῶς ζητοῦσα· καὶ δεσπότις οὖσα
δουλεύει τοῖς Ἔρωσι."

18 Ταῦτ' εἶπε καὶ πάλιν ἐφίλει με καὶ πάλιν "οὐκ
ἐμά σοι ταῦτα" φησὶ "τὰ φιλήματα, Ῥοδόπης δὲ τῆς 260
ἐμῆς δεσποίνης, ᾗ δουλοπρεπῶς καθυπηρετῶ, διακομίζω
σοι τὰ φιλήματα." Κἀγὼ πρὸς αὐτὴν "ὄντως Ὑσμίνη
μοι σύ· καταφιλῶ σου τὰ χείλη, κἂν ὁμοδούλου, κἂν
2 ἀδελφῆς, κἂν ἐρωμένης ὦσι· καὶ φιλῶ τὰ φιλήματα
πλὴν οὐχ ὡς Ῥοδόπης φιλήματα, ἀλλ' ὡς ταύτης <τῆς>
Ὑσμίνης, ἥν μοι Ζεὺς ἐμνηστεύσατο, ἣν βασιλεὺς Ἔρως
παρέθετό μοι ταύτῃ τῇ δεξιᾷ, ἧς Ποσειδῶν ἀπεσπάσατο,

1 σοι] σε (om. N) ι ἐλευθέριον] ἐλεύθερον Hercherus ἐκοινωσάμην] ἐκοινωνησάμην Gaulm. (D) 2 εὐξαίμην] εὔξαιμι ζ, εὔξομαι θ ἢ] καὶ P Ῥοδόπης] ῥοδώπης R 3 ἐλεύθερος Gaulminus, ἐλευθέρως α ἀθανατίζεσθαι] ἀπαθανατίζεσθαι ι 4 τίς] τίς δέ R ταυτηνὶ] ταύτην θ 5 ἀλλ' οὐ Hercherus, αὖ μου P, αὔ μου Y, αὖ μ' οὐ rell, αὖ οὐ Gaulm., αὖ· ἀλλ' οὐ Le Basius 6 1. καὶ] om. ι δούλη νῦν] δούλην ἦν P 7 ὡς] om. F^{1} μοι] μου Hercherus δεσπότις] μὴ δεσπότις R, μοι δεσπότις ι 9 τὸν] σε τὸν ι 13 Ῥοδόπης] ῥοδώπης R 14 ᾗ] ἣν (ἦν Y, ἣν μ) ε καθυπηρετῶ AF^{1}, καθυπηρετῶ καὶ rell. διακομίζω] κομίζω R 16 μοι] om. Jζθ ὁμοδούλου] ὁμοδούλης Rι 17 φιλῶ] καταφιλῶ (om. N) ι τὰ] κατὰ N^{1} 18 Ῥοδόπης] ῥοδώπης R ταύτης] ταῦτα K <τῆς> Hercherus, om. α 19 ἐμνηστεύσατο] ἐμνηστεύσαντο Y 20 παρέθετό] ἀντιπαρέθετό ζθ μοι] μου ζθ ἧς] τῆς ἧς P^{1}, ἣν Gaulm. (D) Ποσειδῶν] ὁ ποσειδῶν ι ἀπεσπάσατο] ἀνεσπάσατο (ἀνεσπᾶτο O) ι.

καὶ νῦν πάλιν Ἔρως ἀντιπαρατίθησι βασιλεύς. Ῥοδόπη δ' ἐρρέτω καὶ Ῥοδόπης ἔρως καὶ εἴ τινα παρθένον ἄλλην ἐν Ὑσμινίᾳ τούτῳ τῷ σῷ καταπαίζουσιν Ἔρωτες."

19 Ἡ δέ μοί φησι "κἂν μὴ φιλῇς, κἂν ἀπαναίνῃ τὸν ἔρωτα, κἂν τὰς συνθήκας τηρῇς, ἀλλὰ πλάττου μοι τὸν φιλοῦντα καὶ τὸν ἐραστὴν ὑποκρίνου μοι· καὶ ἴσως οὐκ εἰς κενὸν ἡμῖν οὐδ' ἀσυντελῆ τὰ τοῦ πλάσματος· εἰ μὴ γὰρ οὐδὲν ἕτερον, ἀλλ' ἀνυποστόλως, ὡς δούλη, συνομιλήσω σοι, ὡς ἀδελφὴ συμπλακήσομαι καὶ ὡς
2 μαστροπὸς διακομίσω σοι τὰ φιλήματα." Ἐγὼ δὲ πρὸς αὐτὴν "ὡς οὐ καταψεύσομαί σου τὸν ἔρωτα καὶ τὰς πολλὰς ἐκείνας συνθήκας ἀπαρεγχειρήτους παραφυλάξομαι, θεοὶ ἐπιμάρτυρες ἔστων· ἰδοὺ καθυπηρετῶ σοι τῷ πλάσματι καὶ τὸν ἀδελφὸν ὑποκρίνομαι, τὸν δὲ σὸν ἐραστὴν ἀποπλάττομαι καὶ τὸν τῆς Ῥοδόπης ἐραστὴν καταπλάτ-
3 τομαι. Σὺ δὲ διακόμιζέ μοι φιλήματα καὶ εἴ τι τούτων ἐστὶν ἐρωτικώτερον ἕτερον· ἐγὼ δ' ἐν σοῖς τούτοις χείλεσι καὶ ὅσοις ἄλλοις τρυγᾶται βότρυς ἐρωτικὸς τὴν Ῥοδόπην

1 πάλιν Ἔρως] ἔρως πάλιν θ, ἔρως ι Ῥοδόπη] ῥοδώπη R 2 ἐρρέτω] αἱρέτω Nζ, ἐρέτω Bμ, ἐρέτω ῥοδόπη Y 1. καὶ] καὶ ὁ θ Ῥοδόπης] ῥοδώπης R εἴ τινα] ἥν τινα (ἥντινα NX) ι 3 ἐν] om. Gaulm. (D) Ἔρωτες] ἔρωτι Y 4 φιλῇς] φιλεῖς (φηλεῖς N) ι 5 τηρῇς] τηρεῖς (τυρεῖς N) ζι πλάττου] πράττου P 7 κενὸν] καινὸν R, κοινὸν F[1] οὐδ' ἀσυντελῆ τὰ τοῦ πλάσματος] τὰ τοῦ πλάσματος οὐδ' ἀσυντελῆ ι πλάσματος] πράγματος Rζθ 8 εἰ] προσγενήσεται εἰ ι οὐδὲν] οὐδὲ Gaulm. 10 μαστροπὸς] μαστρωπὸς AR 12 πολλὰς] καλλὰς (sic) P συνθήκας] ἐνθήκας AF[1] 13 θεοὶ] καὶ θεοὶ ζθ ἐπιμάρτυρες ζθ, ἐπιμάρτυροι JKR, ἐπὶ τούτω μάρτυρες ι ἔστων] ἔστωσαν Rι ἰδοὺ Rι, ἰδοὺ δὲ rell. καθυπηρετῶ σοι] καθυπηρετῶσι P 14 ὑποκρίνομαι] ὑποκρίνομεν Y 15 ἀποπλάττομαι] ὑποπλάττομαι Hercherus 15 καὶ — 15 sq. καταπλάττομαι] om. F[1]P 15 Ῥοδόπης] ita R quoque 16 δὲ] δέ μοι Bμ 17 ἐρωτικώτερον] αἱρετικώτερον θ ἕτερον] om. Mι σοῖς] τοῖς J, om. ι χείλεσι] ἐχοίμην ι 18 ἄλλοις] om. ι βότρυς] τοῖς ι ἐρωτικὸς] ἐρωτικοῖς ι, ἐρωτικῶς (sic) R τὴν Ῥοδόπην] τὴν ῥοδώπην R, τῆς ῥοδόπης ι.

φιλήσω καὶ ὅλην ταύτην κατατρυγήσω τὴν ἄμπελον, τῆς σῆς ταύτης ἐμῆς Ὑσμίνης τὴν παρθενίαν φυλάττων ἀσύλητον καὶ μέχρι φιλημάτων ἀπαρεγχείρητον." Καὶ περιπλακεὶς καὶ ὅλην τὴν Ὑσμίνην καταφιλῶν "οὐ σοὶ 261 ταῦτα" λέγω "δίδωμι τὰ φιλήματα, τῇ δὲ σῇ δεσποίνῃ Ῥοδόπῃ τοῖς σοῖς μοι τούτοις χείλεσι μεταπέμπομαι."

20 Ἡ δ' ὥσπερ μετακομίζουσα τῆς δάφνης ἀπέδραμε καὶ περὶ τὴν Ῥοδόπην ἐγένετο καὶ ἦν καταψιθυρίζουσα. Κἀγὼ τῆς δάφνης ἀνέστην, πρότερον καταμακαρίσας αὐτήν, δάφνην ὀνομάζων ὄντως χρυσῆν, Ἀπόλλωνος σπέρμα, ὠδίνημα γῆς, μνήμην Ἀφροδίτης καὶ παραμυθίαν
2 Ἔρωτος. Ἡ μὲν οὖν Ῥοδόπη τὴν Ὑσμίνην εἶχε μέσον ὅρον πρὸς ἔρωτα καὶ μέσῃ ταύτῃ συνάγειν ἐδόκει τὸν ἔρωτα, ἐγὼ δ' ὅλον ἔρωτα εἶχον αὐτήν, καὶ περὶ μέσην μου τὴν ψυχὴν τὸν τῆς Ὑσμίνης ὅλον συνήγαγον ἔρωτα.

21 Οὕτω μὲν οὖν μοι τὰ τῆς τραπέζης εἶχεν ἐρωτικῶς, καὶ οὕτω κατελύετο τὸ συμπόσιον. Καὶ κῆρυξ μὲν ὁ δεσπότης ἐμὸς περὶ τὸ δωμάτιον γέγονε καὶ ἦν ἀνακεκλιμένος καὶ τοῖς ὕπνοις ὡς ἐκ πολυτελοῦς τραπέζης εὐθὺς
2 κατεσπένδετο. Ἐγὼ δὲ περὶ τὸν κῆπον ἐγεγόνειν· καὶ

1 φιλήσω] λόγους ἤσω ι, φιλῶ AF[1]ζ 2 ταύτης ἐμῆς] ἐμῆς ταύτης J, ταύτης ἡ ἐμῆς Ὑσμίνης] ἰσμήνης ἐμῆς R 4 καὶ KRκ, om. rell. ὅλην] om. ϑ τὴν R, om. ι, αὐτὴν rell. Ὑσμίνην] om. A 5 λέγω] λέγων Jζ σῇ] σοι J 5 sq. δεσποίνῃ Ῥοδόπῃ] ῥοδόπη δεσποίνη ϑ 6 Ῥοδόπῃ] ῥοδώπη R μοι] με Le Basius, del. Hercherus μεταπέμπομαι] παραπέμπομαι ι 7 ὥσπερ] ὡς Hercherns, quod retractavit in adnot. μετακομίζουσα] μετακομίσουσα JK 8 Ῥοδόπην] ῥοδώπην R 10 ὄντως] οὕτως AF 11 ὠδίνημα] JKR, ὀδύνημα ε παραμυθίαν] παραμύθιον K 12 Ῥοδόπη] ῥοδώπη R 13 ὅρον] ὅρων CM μέσῃ] μέσον ζϑ ταύτῃ] ταύτης ζϑ συνάγειν ἐδόκει] συναγαγεῖν ἐδόκει ι, ἐδόκει συνάγειν (—γει P) ϑ 14 ὅλον] ὅλον ὅρον JK αὐτήν] αὐτόν ι, αὐτῆς Gaulm. 15 ὅλον] om. ι 17 εἶχεν] εἶχον Jζϑ 18 ὁ] om. J 19 ἐμὸς] ἐμὸς ἐξαναστὰς τοῦ δείπνου V (v. ad 157, 6) περὶ] ἐπὶ ι 20 ὡς] om. Vι εὐθὺς] om. ι 21 κατεσπένδετο] ἐσπένδετο ι 21 καὶ — 162, 1 ἔρωτα] om. F[1].

πάλιν Ὑσμίνη καθυπηρετεῖ τῇ δεσποίνῃ πρὸς ἔρωτα, καὶ
πάλιν ἥκει περὶ τὸν τῆς δεσπότιδος ἐραστήν· πάλιν τὸν
ἀδελφὸν περιπλέκεται, πάλιν φιλεῖ, πάλιν μαστροπεύει,
3 πάλιν διακομίζει φιλήματα. Κἀγὼ δ' ἀντιφιλῶ, περι-
πλέκομαι, τὸν ἀδελφὸν ὑποκρίνομαι, τὸν τῆς Ῥοδόπης
ἐραστὴν κατασχηματίζομαι, καὶ ἀντιπέμπω φιλήματα,
τὴν Ὑσμίνην ὡς δούλην ὑπηρετοῦσαν ἔχω καὶ ὅλον φανερῶς
καθυποκλέπτω τὸν ἔρωτα.
22 Ἡ δέ μοί φησιν "ἐκ Ῥοδόπης δεσποίνης ἐμῆς τοῦτό
σοι τὸ ἐπιστόλιον" καὶ τῇ χειρί μου παρέθετο· κἀγὼ
πρὸς αὐτὴν "Ὑσμίνη, σὲ μόνην δεσπότιν ἐξ Ἔρωτος
κέκτημαι· σῆς μόνης ἔρωτι πέπραμαι, σῇ γραφίδι δουλο-
γραφοῦμαι καὶ δοῦλος Ἔρωτος γίνομαι, καί μοι τὸ 262
2 δουλογραφεῖον γλυκύπικρον, ἀναπόνιπτον· σοὶ νίτρῳ τὸ
κηρύκειον ἀπονένιμμαι· σοὶ τοιχωρύχῳ τὴν παρθενίαν
ὅλην ἀποσεσύλημαι· ἑλεπόλει σοὶ τὴν πατρίδα πᾶσαν σὺν
αὐτοῖς τοκεῦσιν ἀφῄρημαι· τοίνυν αἰχμάλωτος καὶ δοῦλος
νῦν, ὡς ὁρᾷς· ἃ πάντα χαίρω παθών, ὅτι σὲ τὴν ἐμὴν
Ὑσμίνην Ἔρως μοι πάλιν ἐξ Ἅδου καινῶς ἀνεσώσατο.
3 Τὸν δέ γε πρὸς Ῥοδόπην ἔρωτα καὶ μέχρι πλάσματος
ὀκνῶ καὶ σκηνῆς· σοὶ γάρ, Ὑσμίνη, μόνῃ καὶ χάρισι

2 ἥκει] ἧκε Gaulm. (D) 2. πάλιν] καὶ πάλιν O 3 μαστροπεύει] μαστρωπεύει R 5 Ῥοδόπης] ῥοδώπης R 6 ἀντιπέμπω] ἀντιπράττω καὶ πέμπω V 7 ὅλον] ὅλως R 9 Ῥοδόπης] ῥοδώπης R δεσποίνης] ὑσμίνης K ἐμῆς] ἡμῆς M 10 sq. κἀγὼ πρὸς αὐτὴν] om. JV 10 κἀγὼ] ἐγὼ δὲ ζϑ 11 μόνην] μόνον V δεσπότιν] δέσποιναν ι, om. V 12 σῆς μόνης] σοῖς μόνοις ζϑ ἔρωτι] ἔρωσι ζϑ πέπραμαι] πέπραγμαι μ, πίμπραμαι V, τέτρωμαι R σῇ] σοὶ ϑ 12 sq. δουλογραφοῦμαι] δεδουλογράφημαι ϑ 13 μοι] μου R 14 γλυκύπικρον] γλυκύτερον ι 14 σοὶ — 19 ἀνεσώσατο] om. V 14 σοὶ] σῇ ζ νίτρῳ] νίκης ι, νίπτρῳ Gaulm. 15 σοὶ τοιχωρύχῳ τὴν] τήν σοι τοιχωρύχῳ Gaulm. σοὶ] σῇ ζ 16 ὅλην] om. ι ἑλεπόλει] ἑλέπολις ι σοὶ] σῇ ζ πᾶσαν] om. Gaulm. 18 ἃ πάντα] ἅπαντα BNPTX παθών] πάσχων ϑ 18 sq. ἐμὴν Ὑσμίνην] ἰσμήνην ἐμὴν R 18 ἐμὴν] om. ϑ 19 ἐξ Ἅδου] om. K καινῶς] καινὸς ζ ἀνεσώσατο] διεσώσατο ι 20 πρὸς] πρὸς τὴν T Ῥοδόπην] ῥοδώπην R 21 ὀκνῶ] ὁρῶ ι μόνῃ] om. Jι καὶ] om. R.

4 σαῖς ὅλους ἐχαρισάμην τοὺς ὀφθαλμούς." Ἡ δέ μοί φησι
"κἂν ἔρωτος γέμῃ σοι τὰ φιλήματα, κἂν ὡς σίμβλον
φέρῃς τὸ στόμα, κἂν στάζῃ μοι μέλιτος, ἀλλ' οὐ γλώσσῃ
μόνῃ τὸν ἔρωτα σέβομαι, ὅτι καὶ κέρδος μισῶ ζημίας
5 μοι πρόξενον· σὺ μὲν γὰρ ἐκ κήρυκος κἀξ ἐλευθέρου δοῦλος
6 καὶ δυστυχής· ὅτι δὲ δούλη κἀγώ, τοῦτο πάντως ὁρᾷς·
εἰ δ' ἐξ ἐλευθέρων, εἰ δ' ἐξ εὐτυχῶν, σῆς γλώσσης ἔσται
τοῦτο λαλεῖν. Ῥοδόπη δὲ δεσπότις ἐμὴ καὶ σώζειν δυναμένη καὶ τὴν ἐλευθερίαν ἀποχαρίσασθαι."

23 Κἀγώ φημι πρὸς αὐτὴν "κἂν φύσει τὸ θῆλυ θερ-
11 μότερον, κἂν φύσει τρεπτόν, ἀλλὰ κατὰ τὴν τραγῳδίαν
ὅταν

ἐς εὐνὴν ἠδικημένον κυρῇ,
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα."

2 Ἡ δ' ἀλλὰ μικρὸν ὑποσεσηρυῖα τὴν παρειὰν "μακάριόν
16 μοι" φησὶ "τὸ τῶν ἀνδρῶν ἄτρεπτον καὶ πρὸς ἔρωτος
θέρμην ψυχρότερον.

Τί γάρ με λυπεῖ τοῦθ', ὅταν λόγῳ θανὼν
ἔργοισι σωθῶ κἀξενέγκωμαι κλέος;"

1 ὅλους] ὅλαις Rι ἡ] om. O 2 ἔρωτος] ἔρωτα K γέμῃ] γέμει ι 3 φέρῃς] φέρεις KRι (φέρις O) στάζῃ] στάζει Rι (X^2) 4 σέβομαι] γεύομαι KTι (γεύωμαι O) ζημίας] ζημίαν ι 5 πρόξενον] προξενοῦν ι γὰρ] om. CP ἐκ κήρυκος] ἐξ ἔρωτος R κἀξ] καὶ ἐξ (καὶ O) Rι 7 ἐλευθέρων] ἐλευθέρου R σῆς] τῆς V ἔσται] ἔστω R 8 τοῦτο] τὸ ι Ῥοδόπη] ῥοδώπη R δὲ] om. ζθ 11 τρεπτόν] τερπνόν ι 13 ἠδικημένον Rι, ἠδικημένη θ, ἠδικημένης J, ἠδικημένην rell. κυρῇ] κυροῖ Vι, κυκῇ (κυπῇ P^1) ζ 14 ἄλλη] ἀλλ' ἢ ζ, ἀλλ' οὐ X φρὴν] χεὶρ ι 15 μακάριόν — 16 ἄτρεπτον] om. O 16 μοι] om. R 18 γάρ Osannus, om. ζθ, δέ rell., δή Gaulm. 18 με — 19 ἔργοισι] om. ι 18 λυπεῖ] λυπῇ ζ λόγῳ] λόγοις θ, λόγοις μὲν F^2, λόγω μόνω V θανὼν] θάνω β 19 ἔργοισι] ἔργοις δὲ β.

I

1 Ταῦτα δὴ ταῦτ' εἶπεν Ὑσμίνη περιπαθῶς καὶ περι- 263
πλακεῖσά με κατεφίλησεν "Ὑσμινία" λέγουσα, "σῶσον Ὑσμίνην τὴν σὴν καὶ πρὸ ταύτης σὲ τὸν ἐμὸν Ὑσμινίαν," καὶ πάλιν ἐφίλει με καὶ φιλοῦσα κατεδυσώπει με "πείσθητι" λέγουσα "καὶ τὸν ἐραστὴν ὑποκρίθητι, μή μοι δοκῇς ὑποκρίνεσθαι τὸ μὴ θέλειν ὑποκεκρίσθαι τὸν ἔρωτα." Πείθομαι τοίνυν καὶ ἀναπτύσσω τὸ ἐπιστόλιον· τὸ δ' εἶχεν οὕτως·

2 ΡΟΔΟΠΗ ΠΑΡΘΕΝΟΣ ΣΩΣΤΡΑΤΟΥ ΘΥΓΑΤΗΡ ΥΣΜΙΝΙΑι ΤΩι ΕΡΑΣΤΗι ΧΑΙΡΕΙΝ.

Ὑσμινία, ὡς μὲν εὐδαίμων ἐγὼ καὶ πατρίδι καὶ γένει καὶ τοῖς ἄλλοις ὅσοις θεωρεῖται τὸ εὔδαιμον, ἐκ πολλῶν ἔχεις μαθεῖν, μᾶλλον δ' αὐτά σοι παριστῶσι τὰ πράγματα· ὡς δ' ὅλον τὸν τῆς παρθενίας θησαυρὸν καὶ μέχρις αὐτῶν ὀφθαλμῶν ἐφυλαξάμην ἀπαρεγχείρητον,
2 Ἀρτέμιδος πηγὴ καὶ τόξον ἔλεγχός μοι σαφέστατος. Σὺ δὲ καὶ δοῦλος ὢν (ἀλλὰ μή μου νεμεσήσῃς τῷ ῥήματι) πηγαῖς Ἀφροδίτης ὅλην μου κατεπέκλυσας τὴν ψυχὴν καὶ βέλεσιν ἐρωτικοῖς κατετόξευσας· κἂν γοῦν παρθένος ἐγώ, κἂν εὐτυχής, κἂν περίδοξος, ἀλλὰ ταῦτα πάντα σῆς φι-

1 ταῦτα] incipit liber decimus in JK δὴ ταῦτ'] δ' ι, δή τ' R, δὴ Gaulm. Ὑσμίνη] om. ζθ 3 ἐμὸν] ἐμὸν ἐραστὴν N 6 δοκῇς] δοκεῖς ι τὸ] τῷ TR 8 οὕτως KRι, οὕτω rell. 9 Ῥοδόπη] ῥοδώπη R; incipit liber decimus in ζθ 11 ὡς] εἰ ι καὶ γένει] om. Xθ 13 δ' ὅλον] δῆλον V τὸν] om. J[1] παρθενίας] παρθένου V 15 2. καὶ] om. V[1] 16 1. μου] μοι β νεμεσήσῃς R, νεμέσῃ ι, νεμέσα rell. 18 ταῦτα πάντα VRι, ἅπαντα ταῦτα T, πάντα ταῦτα rell. 18 sq. σῆς φιλίας] φιλίας σῆς ι (φιλίας τῆς σῆς F[2]).

λίας ἐρωτικῆς ἀνταλλάσσομαι καὶ πατρίδος ταύτης ἐμῆς περιφανοῦς
3 Ἀρτυκώμιδος τὴν σὴν ἣν οὐκ εἶδον Εὐρύκωμιν, ἐξ ἁδροῦ βαλαντίου
καὶ χειρὸς ταύτης ἐμῆς, ἣ τὴν ἐπιστολὴν ἐγχαράττει σοι, ἐλευθερίαν
σοι χαριζομένη. Ὑσμίνην δέ, παιδίσκην ἐμὴν καὶ σὴν ἀδελφήν, ἐλευθέραν ἔχεις ἐκ τούτου τοῦ γράμματος. Ἔρρωσο τὸν τῆς Ῥοδόπης
γάμον δουλείας ἀνταλλασσόμενος.

3 Οὕτω τοίνυν ἔχουσαν ἀναγνοὺς τὴν ἐπιστολὴν πρὸς τὴν Ὑσμίνην φημὶ "ὅσα σοι δοκεῖ πρὸς χάριν Ῥοδόπης εἰπεῖν, ὡς ἐξ ἐμῆς ταῦτα φάθι φωνῆς. Εἰ δὲ καὶ φιλεῖσθαι ζητεῖ, καταφίλησον, καὶ μετάθου φιλήματα, ὅσα τῶν ἐμῶν τούτων χειλέων ἔχεις πολλὰ στόματι παρατε-
2 θειμένα τῷ σῷ· εἰ δ' οὐ μόνοις ἀρκεῖται φιλήμασιν
οὐδ' ἐν χείλεσι παραμυθεῖται τὸν ἔρωτα, κατὰ δὲ τὰς 264
τῶν φοινίκων θηλείας πτόρθον ἐξ ἄρρενος φοίνικος περὶ μέσην αὐτῆς ζητεῖ τὴν ψυχήν, καταπράξομαί σοι καὶ τοῦτο τῇ Ῥοδόπῃ διαπεμπόμενος."

4 Ταῦτα πρὸς τὴν Ὑσμίνην ἐγώ, καὶ πάλιν περιπλακεὶς αὐτὴν κατεφίλησα. Καὶ ἡ μὲν περὶ τὴν Ῥοδόπην

1 ταύτης ἐμῆς] ἐμῆς ταύτης R, ἐμῆς ι 2 σὴν] σὴν οὖν ι, om. Le Basius εἶδον] οἶδον NVR, εἶ F[1] Εὐρύκωμιν scripsi, εὐρύκωμιν ἐλευθερίαν (—α F[1]) σοι χαριζομένη α βαλαντίου] βαλλαντίου V 3 ταύτης] ταύτην Le Basius ἣ] ἢ J, καὶ P ἐγχαράττει] ἐγχαράττω JV, χαράττει? Hercherus 3 sq. ἐλευθερίαν σοι χαριζομένη scripsi, om. α 4 δέ] om. ι ἐμὴν] δ' ἐμὴν ι ἀδελφήν] om. V 4 sq. ἐλευθέραν] ἐλευθερίαν KPR 5 ἔχεις] ἔχειν R γράμματος] δράματος R ἔρρωσο] om. Rι Ῥοδόπης] ῥοδώπης R 6 δουλείας] τῆς δουλείας ι ἀνταλλασσόμενος] addunt ἔρρωσο Rι (ἔρωσο R) 7 οὕτω] οὕτως ι 8 Ῥοδόπης] ῥοδώπης R 9 ταῦτα] om. ι φωνῆς] om. V 10 φιλήματα R, φιλήματα τούτων ι, φιλήματος τῶν V, φιλήματα τῶν (φ. τῶς P) rell. 11 τούτων] om. πολλὰ] om. ϑ στόματι] τῷ στόματι J 11 sq. παρατεθειμένα] παρατιθέμενα (παριθέμενα X) Rι 13 οὐδ' — 167, 18 φησιν] perierunt in C 14 θηλείας] θυλίας R, θηλύας O, θηλυίας X, φιλίας ζϑ περὶ] ἐς Pϑ, om. M, παρὰ Gaulm. 15 αὐτῆς Rι (αὐτεῖς O), αὐτὴν rell. 16 τῇ] om. R Ῥοδόπῃ] ῥοδώπη R 17 τὴν] om. V 17 sq. περιπλακεὶς] περικεὶς V 18 περὶ] παρὰ R τὴν] om. ζϑ Ῥοδόπην] ῥοδώπην R.

ἐξέδραμεν, ἐγὼ δ' εἰσέδραμον περὶ τὸ δωμάτιον καὶ
δουλικῶς κατακλιθεὶς περὶ γῆν ἐσπεισάμην τοῖς ὕπνοις,
2 πεισθεὶς τῇ νυκτί. Καὶ πάλιν καθ' ὅλους αὐτοὺς τὴν
Ὑσμίνην ἐδόκουν ὁρᾶν καὶ ταύτῃ συνέπαιζον· ὥσπερ γὰρ
νοῦς πεινῶντος ἄρτον φαντάζεται καὶ ὕδωρ ὄνειροι τῷ
διψῶντι, οὕτως ἐρώσῃ ψυχῇ πάντα πρὸς ἔρωτα μετα-
πλάττεται, καὶ διαλογισμοὶ καὶ τὰ καθ' ὕπνους φαντά-
3 σματα. Παρῆκεν ἡ νύξ, ὕπνοι παρείποντο τῇ νυκτὶ καὶ
τοῖς ὕπνοις ὄνειροι· καὶ πάλιν ἧκε τὸ φῶς, καὶ τὸ γλυκὺ
τῆς ἡμέρας ἐγέλασε· τῆς στρωμνῆς ἀνέστην ἐγώ, περὶ
τὸν δεσπότην ἐγενόμην καὶ ἤμην ὑπηρετῶν.
5 Ἐφίσταται Σώστρατος καί φησιν "ἰδού σοι, κῆρυξ,
πᾶσα πόλις Ἀρτύκωμις πρὸ πυλῶν συνεκπλεῦσαι ζητοῦσά
σοι πρὸς Δαφνήπολιν· σὺ δέ μοι περιδύθητι τὸ κηρύκειον
καὶ ὅλος κῆρυξ γενοῦ." Στεφανοῦται τὴν κεφαλὴν ὁ κῆρυξ,
τῷ χιτῶνι καὶ τῷ πεδίλῳ κατακοσμεῖται, καὶ ὅλον περι-
2 θέμενος τὸ κηρύκειον ἔξεισι τοῦ δωματίου. Καὶ πάλιν
ἡ πόλις ὀρθή, καὶ πάλιν ὀρχεῖτα τὸ πλῆθος καὶ τὸν
προπεμπτήριον λαμπρὸν ὑφαίνει τῷ κήρυκι, οἷον καὶ
τὸν εἰσιτήριον πολυτελῆ προεξύφανε· καὶ ἵνα τἂν μέσῳ
παρῶ, τῆς νεὼς ἐπιβάντες ἐκεῖθεν ἀπέβημεν καὶ περὶ
τὴν Δαφνήπολιν ἐγενόμεθα.

2 δουλικῶς] δουλικῶς ἐγὼ R γῆν] τὴν γῆν ι 3 τῇ νυκτί] τὴν ἐκτί P 5 νοῦς] τοῦ ι, τῷ R πεινῶντος] πεινόντι R 5 ἄρτον — 6 οὕτως] om. M 5 ἄρτον] ἄρτος N φαντάζεται] φαντάζουσι R ὄνειροι] ὄνειρος V 6 οὕτως] οὕτω V 7 διαλογισμοὶ] διαλογισμὸς B 8 ὕπνοι] καὶ ὕπνοι J 9 ὄνειροι TRι, οἱ ὄνειροι rell. 10 2. τῆς] om. ζθ περὶ] ἐπὶ P, παρὰ Gaulm. 11 ἤμην] ἤμην ὑμῖν P 12 ἰδού σοι] ἰδοῦσι P 14 σοι] σε ι, μοι V[1] περιδύθητι ζθ, περιδέθητι ι, περίδυθι JKVR 15 καὶ] τὴν κεφαλὴν στεφανώθητι καὶ ι 17 ἔξεισι] ἔξει P 18 τὸν] τὸ K 19 προπεμπτήριον λαμπρὸν] λαμπρὸν προπεμπτήριον ζθ, λαμπρὸν V οἷον καὶ] καὶ οἷον JVζθ 20 πολυτελῆ] πολυτελῶς ι, πολυτελεῖ Le Basius προεξύφανε] ἐξύφανε ι, προεξέφηνε V, προεξύφαινε Teucherus, προυξύφηνε Hercherus 21 περὶ] πρὸς J.

6 Ὁ μὲν οὖν δὴ κῆρυξ καὶ δεσπότης ἐμὸς σὺν τοῖς
ἐξ Ἀρτυκώμιδος συνεκπλεύσασιν ἐπὶ τὸν τοῦ Δαφνίου
βωμὸν κατὰ τὸ εἰθισμένον τοῖς κήρυξι γέγονεν· ἐγὼ 265
δὲ σὺν ὅσοι τῷ κήρυκι συνεξεπλεύσαμεν εἰς Ἀρτύκωμιν
2 περὶ τὴν οἰκίαν τοῦ δεσπότου γεγόναμεν· καὶ πάλιν ἡ
δεσπότις ἐπ' ἐμὲ τὸν δοῦλον οἰστρηλατουμένη καὶ οἷον
ἐκβεβακχευμένη τοῖς ἔρωσιν· ὅθεν ἀναιδῶς περιπλακεῖσά
3 με φιλεῖν ἀπεμάχετο. Ἐγὼ δ' ὅλον ἐξ αἰδοῦς κατεκαλυ-
ψάμην τὸ πρόσωπον, καὶ ᾐσχυνόμην νὴ τοὺς θεοὺς καὶ
τὴν κατατυραννοῦσάν μου δέσποιναν καὶ τὴν δούλην
4 Ὑσμίνην καὶ τὴν Σωφροσύνην αὐτήν. Ἀλλ' ἡ δεσπότις
ἐφείλκετό με τοῦ χιτωνίου· ἐγὼ δ' ὁ δοῦλος οὐ μεθειλ-
κόμην ἑλκόμενος, ἀλλ' ὅλος ἀντέτεινον· καὶ ἦν ἀγὼν
παρὰ δεσποίνῃ καὶ δούλῳ καινός· ὁ μὲν γὰρ δὴ δοῦλος
ἐγὼ τὴν σωφροσύνην ἐλευθέραν ἐφιλονείκουν τηρεῖν, ἡ δέ μου
δεσπότις κατεδουλοῦτο τοῖς Ἔρωσι καὶ ὅλον ἀπεμπολῆσαι τὸ
5 ἐλευθέριον ἤθελεν. Ἀλλά τις ἐπανῆκεν ἐκ τοῦ βωμοῦ καί
φησιν "ὁ δεσπότης, ὦ δέσποινα·" καὶ σὺν τῷ λόγῳ περὶ
τὴν πύλην ἡ δεσπότις ἐγένετο, τῶν δὲ ταύτης χειρῶν

